Μκ 6 : 18 ἔλεγεν γὰρ ὁ 'Ιωάννης τῷ 'Ηρῴδῃ

Μκ 6 : 20 ὁ γὰρ 'Ηρῴδης ἐφοβεῖτο τὸν 'Ιωάννην
Μτ 14 : 5 ἐφοβήθη τὸν ὄχλον

Μκ 6 : 24 τὴν κεφαλὴν 'Ιωάννου τοῦ βαπτίζοντος
Μτ 14 : 8 ἡ δὲ προβιβασθεῖσα

Μτ14 : 8 ἐπὶ πίνακι τὴν κεφαλὴν 'Ιωάννου τοῦ βαπτιστοῦ
Μκ 6 : 25 ἐπὶ πίνακι τὴν κεφαλὴν 'Ιωάννου τοῦ βαπτιστοῦ

Μτ14 : 10 ἀπεκεφάλισεν 'Ιωάννην ἐν τῇ φυλακῇ
Μκ 6 : 27 ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλακῇ

Μτ16 : 14 οἱ δὲ εἶπαν οἱ μὲν 'Ιωάννην τὸν βαπτιστήν
Μκ 8 : 28 οἱ δὲ εἶπαν αὐτῷ λέγοντες ὅτι 'Ιωάννην τὸν βαπτιστήν
Λκ 9 : 19 οἱ δὲ ἀποκριθέντες εἶπαν 'Ιωάννην τὸν βαπτιστήν

Μτ17 : 13 ὅτι περὶ 'Ιωάννου τοῦ βαπτιστοῦ εἶπεν αὐτοῖς
Μκ (———)

Λκ 11 : 1 καθὼς καὶ 'Ιωάννης ἐδίδαξεν τοὺς μαθητὰς αὐτοῦ
Μτ (———)

Μτ21 : 25 τὸ βάπτισμα τὸ 'Ιωάννου πόθεν ἦν ἐξ οὐρανοῦ ἢ
Μκ11 : 30 τὸ βάπτισμα τὸ 'Ιωάννου ἐξ οὐρανοῦ ἦν ἢ
Λκ 20 : 4 τὸ βάπτισμα 'Ιωάννου ἐξ οὐρανοῦ ἦν ἢ

Μτ21 : 26 πάντες γὰρ ὡς προφήτην ἔχουσιν τὸν 'Ιωάννην
Μκ11 : 32 ἅπαντες γὰρ εἶχον τὸν 'Ιωάννην ὄντως ὅτι προφήτης ἦν
Λκ 20 : 6 ἅπας καταλιθάσει ἡμᾶς πεπεισμένος γάρ ἐστιν 'Ιωάννην προφήτην εἶναι

ΙΩΑΝΗΣ [ΤΟΝ ΤΟΥ ΖΕΒΕΔΑΙΟΥ]

Μτ 4 : 21 'Ιάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ 'Ιωάννην τὸν ἀδελφὸν αὐτοῦ
Μκ 1 : 19 'Ιάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ 'Ιωάννην τὸν ἀδελφὸν αὐτοῦ
Λκ 5 : 10 'Ιάκωβον καὶ 'Ιωάννην υἱοὺς Ζεβεδαίου

Μκ 1 : 29 καὶ 'Ανδρέου μετὰ 'Ιακώβου καὶ 'Ιωάννου
Λκ (———)
Μτ (———)

Μτ10 : 2 καὶ 'Ιάκωβος ὁ τοῦ Ζεβεδαίου καὶ 'Ιωάννης ὁ ἀδελφὸς αὐτοῦ
Μκ 3 : 17 καὶ 'Ιάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ 'Ιωάννην τὸν ἀδελφὸν
Λκ 6 : 14 καὶ 'Ιάκωβον καὶ 'Ιωάννην

Μκ 5 : 37 εἰ μὴ τὸν Πέτρον καὶ 'Ιάκωβον καὶ 'Ιωάννην τὸν ἀδελφὸν
Λκ 8 : 51 εἰ μὴ Πέτρον καὶ 'Ιωάννην καὶ 'Ιάκωβον καὶ τὸν πατέρα
Μτ (———)

Μτ17 : 1 παραλαμβάνει ὁ 'Ιησοῦς τὸν Πέτρον καὶ 'Ιάκωβον καὶ 'Ιωάννην
Μκ 9 : 2 παραλαμβάνει ὁ 'Ιησοῦς τὸν Πέτρον καὶ τὸν 'Ιάκωβον καὶ 'Ιωάννην
Λκ 9 : 28 παραλαβὼν Πέτρον καὶ 'Ιωάννην καὶ 'Ιάκωβον ἀνέβη

Μκ 9 : 38 ἔφη αὐτῷ ὁ 'Ιωάννης διδάσκαλε
Λκ 9 : 49 ἀποκριθεὶς δὲ ὁ 'Ιωάννης εἶπεν ἐπιστάτα

Λκ 9 : 54 ἰδόντες δὲ οἱ μαθηταὶ 'Ιάκωβος καὶ 'Ιωάννης εἶπαν

Μκ10 : 35 προσπορεύονται αὐτῷ 'Ιάκωβος καὶ 'Ιωάννης οἱ υἱοὶ Ζεβεδαίου
Μτ 20 : 20 προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου μετὰ τῶν υἱῶν αὐτῆς
Λκ (———)

Μκ10 : 41 ἤρξαντο ἀγανακτεῖν περὶ 'Ιακώβου καὶ 'Ιωάννου
Μτ 20 : 24 ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν

Λκ 22 : 24 ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς τὸ τίς αὐτῶν

Μκ13 : 3 Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ Ἀνδρέας
Μτ (———)
Λκ (———)

Λκ 22 : 8 καὶ ἀπέστειλεν Πέτρον καὶ Ἰωάννην εἰπών
Μτ 26 : 17 προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες
Μκ 14 : 12 λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ

Μκ14 : 33 καὶ παραλαμβάνει τὸν Πέτρον καὶ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην
Μτ 26 : 37 καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου
Λκ (———)

ΙΩΒΗΔ

Μτ 1 : 5 Βόες δὲ ἐγέννησεν τὸν Ἰωβὴδ ἐκ τῆς Ῥούθ
Λκ 3 : 32 τοῦ Ἰωβὴδ

Μτ 1 : 5 Ἰωβὴδ δὲ ἐγέννησεν τὸν Ἰεσσαί
Λκ 3 : 32 τοῦ Ἰεσσαὶ

ΙΩΔΑ

Λκ 3 : 26 τοῦ Ἰωδὰ
Μτ 1 : 14 Ἀζὼρ δὲ ἐγέννησεν τὸν Σαδώκ

ΙΩΝΑΜ

Λκ 3 : 30 τοῦ Ἰωνὰμ
Μτ 1 : 8 Ἰωρὰμ δὲ ἐγέννησεν τὸν Ὀζίαν

ΙΩΝΑΣ

Μτ12 : 39 καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου
Λκ 11 : 29 καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ
Μκ 8 : 12 εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον

Μτ12 : 40 ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους
Λκ 11 : 30 καθὼς γὰρ ἐγένετο Ἰωνᾶς τοῖς Νινευΐταις σημεῖον

Μτ12 : 41 ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ
Λκ 11 : 32 ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ

Μτ12 : 41 καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε
Λκ 11 : 32 καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε

Μτ16 : 4 καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ
Λκ 11 : 29 καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ
Μκ 8 : 12 εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον

ΙΩΡΑΜ

Μτ 1 : 8 Ἰωσαφὰτ δὲ ἐγέννησεν τὸν Ἰωράμ
Λκ 3 : 30 τοῦ Ἐλιακὶμ

Μτ 1 : 8 Ἰωρὰμ δὲ ἐγέννησεν τὸν Ὀζίαν
Λκ 3 : 30 τοῦ Ἰωνὰμ

ΙΩΡΕΙΜ [ΙΩΡΙΜ]

Λκ 3 : 29 τοῦ Ἰωρὶμ
Μτ 1 : 10 Ἀμὼς δὲ ἐγέννησεν τὸν Ἰωσίαν

ΙΩΣΑΦΑΤ

Μτ 1 : 8 Ἀσὰφ δὲ ἐγέννησεν τὸν Ἰωσαφάτ
Λκ 3 : 31 τοῦ Μελεὰ

Μτ 1 : 8 Ἰωσαφὰτ δὲ ἐγέννησεν τὸν Ἰωράμ
Λκ 3 : 30τοῦ Ἐλιακὶμ

ΙΩΣΕΙΑΣ

Μτ 1 : 10 Ἀμὼς δὲ ἐγέννησεν τὸν Ἰωσίαν
Λκ 3 : 29 τοῦ Ἰωρὶμ

Μτ 1 : 11 Ἰωσίας δὲ ἐγέννησεν τὸν Ἰεχονίαν
Λκ 3 : 29 τοῦ Ἐλιέζερ

ΙΩΣΗΣ

Μκ 6 : 3 καὶ ἀδελφὸς Ἰακώβου καὶ Ἰωσῆτος καὶ Ἰούδα καὶ Σίμωνος
Μτ 13 : 55 καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσὴφ καὶ Σίμων
Λκ (———)

Μκ15 : 40 καὶ Μαρία ἡ Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆτος μήτηρ
Μτ 27 : 56 καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσὴφ μήτηρ

Λκ 23 : 49 καὶ γυναῖκες αἱ συνακολουθοῦσαι

Μκ15 : 47 Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ ᾿Ιωσῆτος ἐθεώρουν
Μτ 27 : 61 Μαριὰμ ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία καθήμεναι
Λκ 23 : 55 δὲ αἱ γυναῖκες αἵτινες ἦσαν συνεληλυθυῖαι

ΙΩΣΗΦ [ΤΟΝ ΑΝΔΡΑ ΜΑΡΙΑΣ]

Μτ 1 : 16 ᾿Ιακὼβ δὲ ἐγέννησεν τὸν ᾿Ιωσὴφ τὸν ἄνδρα Μαρίας
Λκ 3 : 23 ᾿Ιωσήφ τοῦ ῾Ηλὶ

Μτ 1 : 18 μνηστευθείσης τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ ᾿Ιωσήφ

Μτ 1 : 19 ᾿Ιωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς δίκαιος ὢν

Μτ 1 : 20 ᾿Ιωσὴφ υἱὸς Δαυίδ μὴ φοβηθῇς παραλαβεῖν Μαρίαν

Μτ 1 : 24 ἐγερθεὶς δὲ ᾿Ιωσὴφ ἀπὸ τοῦ ὕπνου ἐποίησεν

Μτ 2 : 13 ἄγγελος κυρίου φαίνεται κατ' ὄναρ τῷ ᾿Ιωσὴφ λέγων

Μτ 2 : 19 ἄγγελος κυρίου φαίνεται κατ' ὄναρ τῷ ᾿Ιωσὴφ ἐν Αἰγύπτῳ

Λκ 1 : 27 πρὸς παρθένον ἐμνηστευμένην ἀνδρὶ ᾧ ὄνομα ᾿Ιωσήφ

Λκ 2 : 4 ἀνέβη δὲ καὶ ᾿Ιωσὴφ ἀπὸ τῆς Γαλιλαίας

Λκ 2 : 16 καὶ ἀνεῦραν τήν τε Μαριὰμ καὶ τὸν ᾿Ιωσὴφ καὶ τὸ βρέφος κείμενον

Λκ 4 : 22 οὐχὶ υἱός ἐστιν ᾿Ιωσὴφ οὗτος
Μτ 13 : 55 οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριὰμ
Μκ 6 : 3 οὐχ οὗτός ἐστιν ὁ τέκτων ὁ υἱὸς τῆς Μαρίας

ΙΩΣΗΦ [ΑΠΟ ΑΡΙΜΑΘΑΙΑΣ]

Μτ27 : 57 ἄνθρωπος πλούσιος ἀπὸ ῾Αριμαθαίας τοὔνομα ᾿Ιωσήφ
Μκ15 : 43 ᾿Ιωσὴφ ὁ ἀπὸ ῾Αριμαθαίας εὐσχήμων βουλευτὴς
Λκ 23 : 50 ἀνὴρ ὀνόματι ᾿Ιωσὴφ βουλευτὴς ὑπάρχων . . . ἀπὸ ῾Αριμαθαίας

Μτ27 : 59 καὶ λαβὼν τὸ σῶμα ὁ ᾿Ιωσὴφ ἐνετύλιξεν αὐτὸ σινδόνι
Μκ15 : 45 ἐδωρήσατο τὸ πτῶμα τῷ ᾿Ιωσήφ . . . καθελὼν αὐτὸν ἐνείλησεν τῇ σινδόνι
Λκ 23 : 53 καὶ καθελὼν ἐνετύλιξεν αὐτὸ σινδόνι

ΙΩΣΗΦ

Λκ 3 : 24 τοῦ Μελχὶ τοῦ ᾿Ιανναὶ τοῦ ᾿Ιωσὴφ
Μτ (———)

Λκ 3 : 30 τοῦ ᾿Ιωσὴφ
Μτ 1 : 9 ᾿Οζίας δὲ ἐγέννησεν τὸν ᾿Ιωαθάμ

Μτ13 : 55 ᾿Ιάκωβος καὶ ᾿Ιωσὴφ καὶ Σίμων καὶ ᾿Ιούδας
Μκ 6 : 3 ᾿Ιακώβου καὶ ᾿Ιωσῆτος καὶ ᾿Ιούδα καὶ Σίμωνος
Λκ (———)

Μτ27 : 55 αἵτινες ἠκολούθησαν . . . Μαρία ἡ τοῦ ᾿Ιακώβου καὶ ᾿Ιωσὴφ μήτηρ
Μκ 15 : 40 Μαρία ἡ ᾿Ιακώβου τοῦ μικροῦ καὶ ᾿Ιωσῆτος μήτηρ . . . ηκολούθουν
Λκ 23 : 49 γυναῖκες αἱ συνακολουθοῦσαι

ΙΩΣΗΧ

Λκ 3 : 26 τοῦ ᾿Ιωσὴχ
Μτ 1 : 14 Σαδὼκ δὲ ἐγέννησεν τὸν ᾿Αχίμ

ΙΩΤΑ

Μτ 5 : 18 παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ
Λκ 16 : 17 τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν

ΚΑΓΩ

Μτ 2 : 8 ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ

Λκ 1 : 3 ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν

Λκ 2 : 48 ἰδοὺ ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ζητοῦμέν σε

Μτ10 : 32 ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν
Λκ 12 : 8 καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν

Μτ10 : 33 ἀρνήσομαι κἀγὼ
Λκ 12 : 9 ἀπαρνηθήσεται ἐνώπιον

Μτ11 : 28 καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς

Μτ16 : 18 κἀγὼ δέ σοι λέγω ὅτι σὺ εἶ Πέτρος

Μχ (———)
Λκ (———)

Μτ18 : 33 τὸν σύνδουλόν σου ὡς κἀγὼ σὲ ἠλέησα

Λκ 11 : 9 κἀγὼ ὑμῖν λέγω
Μτ (———)

Λκ 19 : 23 κἀγὼ ἐλθὼν σὺν τόκῳ ἂν αὐτὸ ἔπραξα
Μτ 25 : 27 καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ

Μτ21 : 24 ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα
Λκ 20 : 3 ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον
Μχ 11 : 29 ἐπερωτήσω ὑμᾶς ἕνα λόγον

Μτ21 : 24 κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ
Μχ 11 : 29 καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ
Λκ (———)

Μτ26 : 15 κἀγὼ ὑμῖν παραδώσω αὐτόν
Μχ 14 : 10 ἵνα αὐτὸν παραδοῖ αὐτοῖς
Λκ 22 : 4 τὸ πῶς αὐτοῖς παραδῷ αὐτόν

Λκ 22 : 29 κἀγὼ διατίθεμαι ὑμῖν καθὼς
Μτ 19 : 28 ἀμὴν λέγω ὑμῖν ὅτι
Μχ (———)

ΚΑΘΑ

Μτ27 : 10 καθὰ συνέταξέν μοι κύριος

ΚΑΘΑΙΡΕΩ

Λκ 1 : 52 καθεῖλεν δυνάστας ἀπὸ θρόνων

Λκ 12 : 18 καθελῶ μου τὰς ἀποθήκας

Μχ15 : 36 ἄφετε ἴδωμεν εἰ ἔρχεται Ἠλίας καθελεῖν αὐτόν
Μτ 27 : 49 ἄφες ἴδωμεν εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν
Λκ (———)

Μχ15 : 46 καὶ ἀγοράσας σινδόνα καθελὼν αὐτὸν ἐνείλησεν
Λκ 23 : 53 καὶ καθελὼν ἐνετύλιξεν
Μτ 27 : 59 καὶ λαβὼν τὸ σῶμα ὁ Ἰωσὴφ ἐνετύλιξεν

ΚΑΘΑΡΙΖΩ

Λκ 4 : 27 καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη εἰ μὴ Ναιμὰν ὁ Σύρος
Μτ (———)
Μχ (———)

Μτ 8 : 2 κύριε ἐὰν θέλῃς δύνασαί με καθαρίσαι
Μχ 1 : 40 ὅτι ἐὰν θέλῃς δύνασαί με καθαρίσαι
Λκ 5 : 12 κύριε ἐὰν θέλῃς δύνασαί με καθαρίσαι

Μτ 8 : 3 θέλω καθαρίσθητι
Μχ 1 : 41 θέλω καθαρίσθητι
Λκ 5 : 13 θέλω καθαρίσθητι

Μτ 8 : 3 καὶ εὐθέως ἐκαθαρίσθη
Μχ 1 : 42 καὶ εὐθὺς ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ λέπρα καὶ ἐκαθαρίσθη
Λκ 5 : 13 καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν ἀπ' αὐτοῦ

Μτ10 : 8 ἀσθενοῦντας θεραπεύετε νεκροὺς ἐγείρετε λεπροὺς καθαρίζετε
Λκ 10 : 9 καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς καὶ λέγετε αὐτοῖς
Μχ (———)

Μτ11 : 5 λεπροὶ καθαρίζονται καὶ κωφοὶ ἀκούουσιν
Λκ 7 : 22 λεπροὶ καθαρίζονται καὶ κωφοὶ ἀκούουσιν

Μχ 7 : 19 καθαρίζων πάντα τὰ βρώματα
Μτ (———)

Μτ23 : 26 Φαρισαῖε τυφλέ καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου
Λκ 11 : 39 Φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος καθαρίζετε
Μχ (———)

Λκ 17 : 14 καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς ἐκαθαρίσθησαν

Λκ 17 : 17 οὐχ οἱ δέκα ἐκαθαρίσθησαν οἱ δὲ ἐννέα ποῦ

Μτ23 : 26 Φαρισαῖε τυφλέ καθάρισον πρῶτον τὸ ἐντὸς
Λκ 11 : 40 ἄφρονες οὐχ ὁ ποιήσας τὸ ἔξωθεν καὶ τὸ ἔσωθεν
Μχ (———)

ΚΑΘΑΡΙΣΜΟΣ

Λκ 2 : 22 καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν

Μχ 1 : 44 καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου ἃ προσέταξεν Μωϋσῆς
Λκ 5 : 14 καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου καθὼς προσέταξεν Μωϋσῆς
Μτ 8 : 4 καὶ προσένεγκον τὸ δῶρον ὃ προσέταξεν Μωϋσῆς

ΚΑΘΑΡΟΣ

Μτ 5 : 8 μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ
Λκ (———)

Μτ23 : 26 ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτοῦ καθαρόν
Λκ 11 : 41 καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἐστιν
Μκ (———)

Μτ27 : 59 ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ καὶ
Μκ 15 : 46 ἐνείλησεν τῇ σινδόνι καὶ
Λκ 23 : 53 ἐνετύλιξεν αὐτὸ σινδόνι καὶ

ΚΑΘΕΔΡΑ

Μτ21 : 12 κατέστρεψεν καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστεράς
Μκ11 : 15 καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστερὰς κατέστρεψεν
Λκ (———)

Μτ23 : 2 ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι
Μκ (———)
Λκ (———)

ΚΑΘΕΖΟΜΑΙ

Λκ 2 : 46 ἐν τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων

Μτ26 : 55 καθ' ἡμέραν ἐν τῷ ἱερῷ ἐκαθεζόμην διδάσκων
Μκ 14 : 49 καθ' ἡμέραν ἤμην πρὸς ὑμᾶς ἐν τῷ ἱερῷ διδάσκων
Λκ 22 : 53 καθ' ἡμέραν ὄντος μου μεθ' ὑμῶν ἐν τῷ ἱερῷ οὐκ ἐξετείνατε

ΚΑΘΕΞΗΣ

Λκ 1 : 3 παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς καθεξῆς σοι γράψαι

Λκ 8 : 1 καὶ ἐγένετο ἐν τῷ καθεξῆς καὶ αὐτὸς διώδευεν κατὰ πόλιν καὶ κώμην κηρύσσων
Μτ 9 : 35 καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας διδάσκων
Μκ 6 : 6 καὶ περιῆγεν τὰς κώμας κύκλῳ διδάσκων

ΚΑΘΕΥΔΩ

Μτ 8 : 24 αὐτὸς δὲ ἐκάθευδεν
Μκ 4 : 38 καὶ αὐτὸς ἦν ἐν τῇ πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον καθεύδων
Λκ (———)

Μτ 9 : 24 οὐ γὰρ ἀπέθανεν τὸ κοράσιον ἀλλὰ καθεύδει
Μκ 5 : 39 τὸ παιδίον οὐκ ἀπέθανεν ἀλλὰ καθεύδει
Λκ 8 : 52 οὐκ ἀπέθανεν ἀλλὰ καθεύδει

Μκ 4 : 27 καὶ καθεύδῃ καὶ ἐγείρηται νύκτα καὶ ἡμέραν

Μτ13 : 25 ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς

Μκ13 : 36 μὴ ἐλθὼν ἐξαίφνης εὕρῃ ὑμᾶς καθεύδοντας
Μτ 25 : 13 γρηγορεῖτε οὖν ὅτι οὐκ οἴδατε
Λκ 12 : 38 ἔλθῃ καὶ εὕρῃ οὕτως μακάριοί εἰσιν

Μτ25 : 5 ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον
Λκ (———)

Μτ26 : 40 καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας
Μκ14 : 37 καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας
Λκ 22 : 45 εὗρεν κοιμωμένους αὐτοὺς

Μκ14 : 37 καὶ λέγει τῷ Πέτρῳ Σίμων καθεύδεις οὐκ ἴσχυσας
Λκ 22 : 46 καὶ εἶπεν αὐτοῖς τί καθεύδετε
Μτ 26 : 40 καὶ λέγει τῷ Πέτρῳ οὕτως οὐκ ἰσχύσατε

Μτ26 : 43 καὶ ἐλθὼν πάλιν εὗρεν αὐτοὺς καθεύδοντας
Μκ14 : 40 καὶ πάλιν ἐλθὼν εὗρεν αὐτοὺς καθεύδοντας
Λκ (———)

Μτ26 : 45 καὶ λέγει αὐτοῖς καθεύδετε λοιπὸν καὶ ἀναπαύεσθε
Μκ14 : 41 καὶ λέγει αὐτοῖς καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε
Λκ (———)

ΚΑΘΗΓΗΤΗΣ

Μτ23 : 10 μηδὲ κληθῆτε καθηγηταί
Μκ (———)
Λκ (———)

Μτ23 : 10 ὅτι καθηγητὴς ὑμῶν ἐστιν εἷς ὁ Χριστός
Μκ (———)
Λκ (———)

ΚΑΘΗΜΑΙ

Λκ 1 : 79 τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις

Μτ 4 : 16 ὁ λαὸς ὁ καθήμενος ἐν σκοτίᾳ φῶς εἶδεν μέγα

Μκ (———)
Λκ (———)

Μτ 4 : 16 καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς
Μκ (———)
Λκ (———)

Λκ 5 : 17 καὶ ἦσαν καθήμενοι Φαρισαῖοι καὶ νομοδιδάσκαλοι
Μκ 2 : 2 καὶ συνήχθησαν πολλοὶ
Μτ (———)

Μκ 2 : 6 ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι καὶ διαλογιζόμενοι
Μτ 9 : 3 καὶ ἰδού τινες τῶν γραμματέων
Λκ 5 : 21 καὶ ἤρξαντο διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι

Μτ 9 : 9 ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον
Μκ 2 : 14 Λευὶν τὸν τοῦ ʽΑλφαίου καθήμενον ἐπὶ τὸ τελώνιον
Λκ 5 : 27 Λευὶν καθήμενον ἐπὶ τὸ τελώνιον

Μτ11 : 16 παιδίοις καθημένοις ἐν ταῖς ἀγοραῖς
Λκ 7 : 32 παιδίοις τοῖς ἐν ἀγορᾷ καθημένοις

Μκ 3 : 31 ἀπέστειλαν πρὸς αὐτὸν καλοῦντες αὐτόν καὶ ἐκάθητο περὶ αὐτὸν ὄχλος
Μτ 12 : 46 ζητοῦντες αὐτῷ λαλῆσαι
Λκ 8 : 19 καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον

Μκ 3 : 34 καὶ περιβλεψάμενος τοὺς περὶ αὐτὸν κύκλῳ καθημένους λέγει
Μτ 12 : 49 καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ εἶπεν
Λκ 8 : 21 ὁ δὲ ἀποκριθεὶς εἶπεν πρὸς αὐτούς

Μτ13 : 1 ἐξελθὼν ὁ ʼΙησοῦς τῆς οἰκίας ἐκάθητο παρὰ τὴν θάλασσαν
Μκ 4 : 1 ἤρξατο διδάσκειν παρὰ τὴν θάλασσαν
Λκ (———)

Μτ13 : 2 καὶ συνήχθησαν πρὸς αὐτὸν ὄχλοι πολλοί ὥστε αὐτὸν εἰς πλοῖον ἐμβάντα καθῆσθαι
Μκ 4 : 1 καὶ συνάγεται πρὸς αὐτὸν . . . ὥστε αὐτὸν εἰς πλοῖον ἐμβάντα καθῆσθαι
Λκ 8 : 4 Συνιόντος δὲ ὄχλου πολλοῦ καὶ τῶν κατὰ πόλιν ἐπιπορευομένων πρὸς αὐτὸν

Μκ 5 : 15 καὶ θεωροῦσιν τὸν δαιμονιζόμενον καθήμενον
Λκ 8 : 35 καὶ εὗρον καθήμενον τὸν ἄνθρωπον
Μτ 8 : 34 καὶ ἰδόντες αὐτὸν

Μτ15 : 29 καὶ ἀναβὰς εἰς τὸ ὄρος ἐκάθητο ἐκεῖ
Μκ 7 : 31 ἀνὰ μέσον τῶν ὁρίων Δεκαπόλεως

Λκ 10 : 13 πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμενοι μετενόησαν
Μτ 11 : 21 πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ μετενόησαν

Μτ19 : 28 καθήσεσθε καὶ αὐτοὶ ἐπὶ δώδεκα θρόνους
Λκ 22 : 30 καὶ καθήσεσθε ἐπὶ θρόνων τὰς δώδεκα φυλὰς
Μκ (———)

Μτ20 : 30 ἰδοὺ δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδόν
Μκ10 : 46 Τιμαίου Βαρτιμαῖος τυφλὸς προσαίτης ἐκάθητο παρὰ τὴν ὁδόν
Λκ 18 : 35 τυφλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν

Μτ22 : 44 κάθου ἐκ δεξιῶν μου
Μκ12 : 36 κάθου ἐκ δεξιῶν μου
Λκ 20 : 42 κάθου ἐκ δεξιῶν μου

Μτ23 : 22 τῷ θρόνῳ τοῦ θεοῦ καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ
Μκ (———)
Λκ (———)

Μτ24 : 3 καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν
Μκ13 : 3 καὶ καθημένου αὐτοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν
Λκ (———)

Λκ 21 : 34 ἡ ἡμέρα ἐκείνη . . . ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ προσωπον πάσης τῆς γῆς
Μτ 24 : 36 τῆς ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν
Μκ 13 : 32 τῆς ἡμέρας ἐκείνης ἢ τῆς ὥρας οὐδεὶς οἶδεν

Μτ26 : 58 ἐκάθητο μετὰ τῶν ὑπηρετῶν
Λκ 22 : 55 καὶ συγκαθισάντων ἐκάθητο ὁ Πέτρος μέσος αὐτῶν
Μκ 14 : 54 καὶ ἦν συγκαθήμενος μετὰ τῶν ὑπηρετῶν

Λκ 22 : 56 ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς
Μτ 26 : 58 ἰδεῖν τὸ τέλος
Μκ 14 : 54 καὶ θερμαινόμενος πρὸς τὸ φῶς

Μτ26 : 64 τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως
Μκ14 : 62 τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν καθήμενον τῆς δυνάμεως
Λκ 22 : 69 ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως

Μτ26 : 69 ὁ δὲ Πέτρος ἐκάθητο ἔξω ἐν τῇ αὐλῇ καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη
Λκ 22 : 56 ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον
Μκ 14 : 66 καὶ ὄντος τοῦ Πέτρου κάτω ἐν τῇ αὐλῇ ἔρχεται μία τῶν παιδισκῶν

Μτ27 : 19 καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος
Μκ (———)
Λκ (———)

Μτ27 : 36 καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ
Μκ 15 : 25 ἦν δὲ ὥρα τρίτη καὶ ἐσταύρωσαν
Λκ 23 : 35 καὶ εἱστήκει ὁ λαὸς θεωρῶν

Μτ27 : 61 καὶ ἡ ἄλλη Μαρία καθήμεναι ἀπέναντι τοῦ τάφου
Μκ 15 : 47 καὶ Μαρία ἡ Ἰωσῆτος ἐθεώρουν ποῦ τέθειται
Λκ 23 : 55 κατακολουθήσασαι δὲ αἱ γυναῖκες αἵτινες

Μτ28 : 2 προσελθὼν ἀπεκύλισεν τὸν λίθον καὶ ἐκάθητο ἐπάνω αὐτοῦ
Μκ (———)
Λκ (———)

Μκ16 : 5 εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς περιβεβλημένον στολὴν
Λκ 24 : 4 καὶ ἰδοὺ ἄνδρες δύο ἐπέστησαν αὐταῖς ἐν ἐσθῆτι
Μτ (———)

ΚΑΘΙΖΩ

Λκ 4 : 20 καὶ πτύξας τὸ βιβλίον ἀποδοὺς τῷ ὑπηρέτῃ ἐκάθισεν
Μτ (———)
Μκ (———)

Λκ 5 : 3 καθίσας δὲ ἐκ τοῦ πλοίου ἐδίδασκεν τοὺς ὄχλους

Μτ 5 : 1 ἀνέβη εἰς τὸ ὄρος καὶ καθίσαντος αὐτοῦ
Λκ 6 : 12 ἐξελθεῖν αὐτὸν εἰς τὸ ὄρος προσεύξασθαι

Μτ13 : 48 καὶ καθίσαντες συνέλεξαν τὰ καλὰ εἰς ἄγγη

Μκ 9 : 35 καὶ καθίσας ἐφώνησεν . . . λέγει αὐτοῖς εἴ τις θέλει πρῶτος εἶναι
Μτ 18 : 1 Ἰησοῦ λέγοντες τίς ἄρα μείζων ἐστὶν
Λκ 9 : 47 ὁ δὲ Ἰησοῦς εἰδὼς τὸν διαλογισμὸν

Λκ 14 : 28 οὐχὶ πρῶτον καθίσας ψηφίζει τὴν δαπάνην
Μτ (———)

Λκ 14 : 31 οὐχὶ καθίσας πρῶτον βουλεύσεται εἰ δυνατός
Μτ (———)

Λκ 16 : 6 καὶ καθίσας ταχέως γράψον πεντήκοντα

Μτ19 : 28 ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ
Λκ 22 : 30 καὶ καθήσεσθε ἐπὶ θρόνων τὰς δώδεκα
Μκ (———)

Μτ20 : 21 ἵνα καθίσωσιν οὗτοι οἱ δύο υἱοί μου ἐν τῇ βασιλείᾳ σου
Μκ10 : 37 δὸς ἡμῖν ἵνα . . . καθίσωμεν ἐν τῇ δόξῃ σου
Λκ (———)

Μτ20 : 23 τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου
Μκ10 : 40 τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου
Λκ (———)

Μκ11 : 2 πῶλον δεδεμένον ἐφ' ὃν οὐδεὶς οὔπω ἀνθρώπων ἐκάθισεν λύσατε
Λκ 19 : 30 πῶλον δεδεμένον ἐφ' ὃν οὐδεὶς πώποτε ἀνθρώπων ἐκάθισεν καὶ λύσαντες
Μτ 21 : 2 ὄνον δεδεμένην καὶ πῶλον μετ' αὐτῆς λύσαντες

Μκ11 : 7 τὰ ἱμάτια αὐτῶν καὶ ἐκάθισεν ἐπ' αὐτόν
Μτ 21 : 7 τὰ ἱμάτια καὶ ἐπεκάθισεν ἐπάνω αὐτῶν
Λκ 19 : 35 τὰ ἱμάτια ἐπὶ τὸν πῶλον ἐπεβίβασαν τὸν Ἰησοῦν

Μτ23 : 2 ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι
Μκ (———)
Λκ (———)

Μκ12 : 41 καὶ καθίσας κατέναντι τοῦ γαζοφυλακείου ἐθεώρει
Λκ 21 : 1 ἀναβλέψας δὲ εἶδεν τοὺς βάλλοντας εἰς τὸ γαζοφυλακεῖον

Μτ25 : 31 τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ

Μτ26 : 36 καθίσατε αὐτοῦ ἕως οὗ ἀπελθὼν ἐκεῖ προσεύξωμαι
Μκ14 : 32 καθίσατε ὧδε ἕως προσεύξωμαι
Λκ 22 : 40 προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν

Λκ 24 : 49 ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει ἕως οὗ ἐνδύσησθε

Μκ16 : 19 εἰς τὸν οὐρανὸν καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ θεοῦ

ΚΑΘΙΗΜΙ

Λκ 5 : 19 καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ
Μκ 2 : 4 καὶ ἐξορύξαντες χαλῶσι τὸν κράβατον
Μτ (———)

ΚΑΘΙΣΤΗΜΙ

Λκ 12 : 14 τίς με κατέστησεν κριτὴν ἢ μεριστὴν ἐφ' ὑμᾶς

Μτ24 : 45 ὃν κατέστησεν ὁ κύριος ἐπὶ τῆς οἰκετείας αὐτοῦ
Λκ 12 : 42 ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ

Μτ24 : 47 ἐπὶ πᾶσιν τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν
Λκ 12 : 44 ἐπὶ πᾶσιν τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν

Μτ25 : 21 ἐπὶ πολλῶν σε καταστήσω εἴσελθε εἰς τὴν χαρὰν
Λκ 19 : 17 ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων

Μτ25 : 23 ἐπὶ πολλῶν σε καταστήσω εἴσελθε εἰς τὴν χαρὰν
Λκ (———)

ΚΑΘΟΠΛΙΖΟΜΑΙ

Λκ 11 : 21 ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ τὴν ἑαυτοῦ αὐλήν
Μτ 12 : 29 ἢ πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ
Μκ 3 : 27 ἀλλ' οὐ δύναται οὐδεὶς εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ εἰσελθὼν

ΚΑΘΟΤΙ

Λκ 1 : 7 καὶ οὐκ ἦν αὐτοῖς τέκνον καθότι ἦν ἡ Ἐλισάβετ στεῖρα

Λκ 19 : 9 καθότι καὶ αὐτὸς υἱὸς Ἀβραάμ ἐστιν

ΚΑΘΩΣ

Λκ 1 : 2 καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς

Λκ 1 : 55 καθὼς ἐλάλησεν πρὸς τοὺς πατέρας ἡμῶν

Λκ 1 : 70 καθὼς ἐλάλησεν διὰ στόματος τῶν ἁγίων

Λκ 2 : 20 ἤκουσαν καὶ εἶδον καθὼς ἐλαλήθη πρὸς αὐτούς

Λκ 2 : 23 καθὼς γέγραπται ἐν νόμῳ κυρίου

Μκ 1 : 2 καθὼς γέγραπται ἐν τῷ Ἠσαΐᾳ τῷ προφήτῃ
Μτ 3 : 3 οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς διὰ Ἠσαΐου τοῦ προφήτου
Λκ 3 : 4 ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἠσαΐου τοῦ προφήτου

Λκ 5 : 14 καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου καθὼς προσέταξεν Μωϋσῆς
Μτ 8 : 4 καὶ προσένεγκον τὸ δῶρον ὃ προσέταξεν Μωϋσῆς
Μκ 1 : 44 καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου ἃ προσέταξεν Μωϋσῆς

Λκ 6 : 31 καὶ καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι
Μτ 7 : 12 πάντα οὖν ὅσα ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι

Λκ 6 : 36 γίνεσθε οἰκτίρμονες καθὼς ὁ πατὴρ ὑμῶν
Μτ 5 : 48 ἔσεσθε οὖν ὑμεῖς τέλειοι ὡς ὁ πατὴρ ὑμῶν

Μκ 4 : 33 καθὼς ἠδύναντο ἀκούειν
Μτ (———)

Μκ 9 : 13 καθὼς γέγραπται ἐπ' αὐτόν
Μτ 17 : 12 οὕτως καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν

Λκ 11 : 1 δίδαξον ἡμᾶς προσεύχεσθαι καθὼς καὶ Ἰωάννης ἐδίδαξεν
Μτ 6 : 9 οὕτως οὖν προσεύχεσθε ὑμεῖς

Λκ 11 : 30 καθὼς γὰρ ἐγένετο Ἰωνᾶς τοῖς Νινευΐταις
Μτ 12 : 40 ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ

Λκ 17 : 26 καὶ καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις Νῶε
Μτ 24 : 37 ὥσπερ γὰρ αἱ ἡμέραι τοῦ Νῶε

Λκ 17 : 28 καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις Λώτ
Μτ 24 : 39 οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ

Λκ 19 : 32 ἀπελθόντες δὲ οἱ ἀπεσταλμένοι εὗρον καθὼς εἶπεν αὐτοῖς
Μτ 21 : 6 πορευθέντες δὲ οἱ μαθηταὶ
Μκ 11 : 4 καὶ ἀπῆλθον καὶ εὗρον πῶλον δεδεμένον πρὸς θύραν ἔξω

Μτ21 : 6 καθὼς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς
Μκ11 : 6 οἱ δὲ εἶπαν αὐτοῖς καθὼς εἶπεν ὁ Ἰησοῦς

Λκ 19 : 34 οἱ δὲ εἶπαν ὅτι ὁ κύριος αὐτοῦ χρείαν ἔχει

Μκ14 : 16 οἱ μαθηταὶ καὶ ἦλθον εἰς τὴν πόλιν καὶ εὗρον καθὼς εἶπεν αὐτοῖς
Λκ 22 : 13 εὗρον καθὼς εἰρήκει αὐτοῖς
Μτ 26 : 19 οἱ μαθηταὶ ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς

Μτ26 : 24 ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ
Μκ14 : 21 ὅτι ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ
Λκ 22 : 22 ὅτι ὁ υἱὸς μὲν τοῦ ἀνθρώπου κατὰ τὸ ὡρισμένον πορεύεται

Λκ 22 : 29 κἀγὼ διατίθεμαι ὑμῖν καθὼς διέθετό μοι
Μτ 19 : 28 Ἰησοῦς εἶπεν αὐτοῖς ἀμὴν λέγω ὑμῖν ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μου
Μκ (———)

Μκ15 : 8 καὶ ἀναβὰς ὁ ὄχλος ἤρξατο αἰτεῖσθαι καθὼς ἐποίει αὐτοῖς ὁ δὲ Πιλᾶτος
Μτ 27 : 17 συνηγμένων οὖν αὐτῶν εἶπεν αὐτοῖς ὁ Πιλᾶτος
Λκ (———)

Μτ28 : 6 οὐκ ἔστιν ὧδε ἠγέρθη γὰρ καθὼς εἶπεν
Μκ 16 : 6 ἠγέρθη οὐκ ἔστιν ὧδε
Λκ 24 : 6 οὐκ ἔστιν ὧδε ἀλλὰ ἠγέρθη

Μκ16 : 7 ἐκεῖ αὐτὸν ὄψεσθε καθὼς εἶπεν ὑμῖν
Μτ 28 : 7 ἐκεῖ αὐτὸν ὄψεσθε ἰδοὺ εἶπον ὑμῖν
Λκ 24 : 7 λέγων τὸν υἱὸν τοῦ ἀνθρώπου ὅτι δεῖ παραδοθῆναι

Λκ 24 : 24 καὶ εὗρον οὕτως καθὼς καὶ αἱ γυναῖκες εἶπον

Λκ 24 : 39 σάρκα καὶ ὀστέα οὐκ ἔχει καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα

ΚΑΙΑΦΑΣ

Λκ 3 : 2 ἐπὶ ἀρχιερέως Ἄννα καὶ Καϊάφα
Μτ (———)
Μκ (———)

Μτ26 : 3 εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως τοῦ λεγομένου Καϊάφα
Μκ (———)
Λκ (———)

Μτ26 : 57 τὸν Ἰησοῦν ἀπήγαγον πρὸς Καϊάφαν
Μκ 14 : 53 ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν ἀρχιερέα
Λκ 22 : 54 αὐτὸν ἤγαγον καὶ εἰσήγαγον εἰς τὴν οἰκίαν τοῦ ἀρχιερέως

ΚΑΙΝΑΜ

Λκ 3 : 36 τοῦ Καϊνὰμ τοῦ Ἀρφαξὰδ τοῦ Σὴμ
Μτ (———)

Λκ 3 : 37 τοῦ Ἰάρετ τοῦ Μαλελεὴλ τοῦ Καϊνὰμ
Μτ (———)

ΚΑΙΝΟΣ

Μκ 1 : 27 τί ἐστιν τοῦτο διδαχὴ καινὴ κατ' ἐξουσίαν
Λκ 4 : 36 τίς ὁ λόγος οὗτος ὅτι ἐν ἐξουσίᾳ
Μτ (———)

Λκ 5 : 36 οὐδεὶς ἐπίβλημα ἀπὸ ἱματίου καινοῦ σχίσας ἐπιβάλλει
Μτ 9 : 16 οὐδεὶς δὲ ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου
Μκ 2 : 21 οὐδεὶς ἐπίβλημα ῥάκους ἀγνάφου ἐπιράπτει

Μκ 2 : 21 εἰ δὲ μή αἴρει τὸ πλήρωμα ἀπ' αὐτοῦ τὸ καινὸν τοῦ παλαιοῦ
Λκ 5 : 36 εἰ δὲ μή γε καὶ τὸ καινὸν σχίσει καὶ τῷ παλαιῷ
Μτ 9 : 16 αἴρει γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ τοῦ ἱματίου

Λκ 5 : 36 καὶ τῷ παλαιῷ οὐ συμφωνήσει τὸ ἐπίβλημα τὸ ἀπὸ τοῦ καινοῦ
Μτ 9 : 16 καὶ χεῖρον σχίσμα γίνεται
Μκ 2 : 21 καὶ χεῖρον σχίσμα γίνεται

Μτ 9 : 17 ἀλλὰ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς καινούς
Μκ 2 : 22 ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινούς
Λκ 5 : 38 ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον

Μτ13 : 52 ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά

Λκ 22 : 20 τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου
Μτ 26 : 28 τοῦτο γάρ ἐστιν τὸ αἷμά μου τῆς διαθήκης τὸ περὶ πολλῶν
Μκ 14 : 24 τοῦτό ἐστιν τὸ αἷμά μου τῆς διαθήκης τὸ ἐκχυννόμενον

Μτ26 : 29 ἕως . . . ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου
Μκ14 : 25 ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ

Λκ 22 : 18 ἕως οὗ ἡ βασιλεία τοῦ θεοῦ ἔλθῃ

Μτ27 : 60 καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ ὃ ἐλατόμησεν
Μκ 15 : 46 καὶ κατέθηκεν αὐτὸν ἐν μνήματι ὃ ἦν λελατομημένον
Λκ 23 : 53 καὶ ἔθηκεν αὐτὸν ἐν μνήματι λαξευτῷ

Μκ16 : 17 γλώσσαις λαλήσουσιν καιναῖς

ΚΑΙΡΟΣ

Λκ 1 : 20 οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν

Λκ 4 : 13 ἀπέστη ἀπ' αὐτοῦ ἄχρι καιροῦ
Μτ 4 : 11 καὶ ἰδοὺ ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ
Μκ 1 : 13 καὶ οἱ ἄγγελοι διηκόνουν αὐτῷ

Μκ 1 : 15 ὅτι πεπλήρωται ὁ καιρὸς καὶ ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ
Μτ 4 : 17 μετανοεῖτε ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν
Λκ 4 : 15 καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν

Μτ 8 : 29 ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς
Μκ 5 : 7 ὁρκίζω σε τὸν θεόν μή με βασανίσῃς
Λκ 8 : 28 δέομαί σου μή με βασανίσῃς

Μτ11 : 25 ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς
Λκ 10 : 21 ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο

Μτ12 : 1 ἐν ἐκείνῳ τῷ καιρῷ ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασιν
Μκ 2 : 23 καὶ ἐγένετο αὐτὸν ἐν τοῖς σάββασιν
Λκ 6 : 1 ἐγένετο δὲ ἐν σαββάτῳ

Λκ 8 : 13 ῥίζαν οὐκ ἔχουσιν οἳ πρὸς καιρὸν πιστεύουσιν
Μτ 13 : 21 οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ ἀλλὰ πρόσκαιρός ἐστιν
Μκ 4 : 17 καὶ οὐκ ἔχουσιν ῥίζαν ἐν ἑαυτοῖς ἀλλὰ πρόσκαιροί εἰσιν

Λκ 8 : 13 καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται
Μτ 13 : 21 γενομένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον εὐθὺς σκανδαλίζεται
Μκ 4 : 17 εἶτα γενομένης θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον εὐθὺς σκανδαλίζονται

Μτ13 : 30 καὶ ἐν καιρῷ τοῦ θερισμοῦ ἐρῶ τοῖς θερισταῖς

Μτ14 : 1 ἐν ἐκείνῳ τῷ καιρῷ
Μκ (———)
Λκ (———)

Μτ16 : 3 τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε
Λκ 12 : 56 τὸν καιρὸν δὲ τοῦτον πῶς οὐ δοκιμάζετε
Μκ (———)

Μτ24 : 45 τοῦ δοῦναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ
Λκ 12 : 42 τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον

Λκ 13 : 1 παρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλλοντες αὐτῷ

Μκ10 : 30 ἐὰν μὴ λάβῃ ἑκατονταπλασίονα νῦν ἐν τῷ καιρῷ τούτῳ
Λκ 18 : 30 ὃς οὐχὶ μὴ λάβῃ πολλαπλασίονα ἐν τῷ καιρῷ τούτῳ
Μτ 19 : 29 πολλαπλασίονα λήμψεται

Λκ 19 : 44 ἀνθ' ὧν οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου

Μκ11 : 13 εἰ μὴ φύλλα ὁ γὰρ καιρὸς οὐκ ἦν σύκων
Μτ 21 : 19 εἰ μὴ φύλλα μόνον

Μτ21 : 34 ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν ἀπέστειλεν
Μκ12 : 2 καὶ ἀπέστειλεν πρὸς τοὺς γεωργοὺς τῷ καιρῷ
Λκ 20 : 10 καὶ καιρῷ ἀπέστειλεν πρὸς τοὺς γεωργοὺς

Μτ21 : 41 οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν
Λκ 20 : 16 ἀκούσαντες δὲ εἶπαν μὴ γένοιτο
Μκ (———)

Λκ 21 : 8 ἐγώ εἰμι καὶ ὁ καιρὸς ἤγγικεν μὴ πορευθῆτε ὀπίσω αὐτῶν
Μτ 24 : 5 ἐγώ εἰμι ὁ Χριστός καὶ πολλοὺς πλανήσουσιν
Μκ 13 : 6 εγώ εἰμι καὶ πολλοὺς πλανήσουσιν

Λκ 21 : 24 ἄχρι οὗ πληρωθῶσιν καιροὶ ἐθνῶν
Μτ 24 : 22 διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι
Μκ 13 : 20 ἀλλὰ διὰ τοὺς ἐκλεκτοὺς οὓς ἐξελέξατο ἐκολόβωσεν τὰς ἡμέρας

Μκ13 : 33 οὐκ οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν ὡς ἄνθρωπος ἀπόδημος
Μτ 25 : 14 ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν ἐκάλεσεν
Λκ 19 : 12 ἄνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακρὰν

Λκ 21 : 36 ἀγρυπνεῖτε δὲ ἐν παντὶ καιρῷ δεόμενοι
Μτ 24 : 36 περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν

Μκ 13 : 32 περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ τῆς ὥρας οὐδεὶς οἶδεν

Μτ26 : 18 ὁ διδάσκαλος λέγει ὁ καιρός μου ἐγγύς ἐστιν
Μκ 14 : 14 ὁ διδάσκαλος λέγει ποῦ ἐστιν τὸ κατάλυμά μου
Λκ 22 : 11 λέγει σοι ὁ διδάσκαλος ποῦ ἐστιν τὸ κατάλυμα

ΚΑΙΣΑΡ

Λκ 2 : 1 ἐξῆλθεν δόγμα παρὰ Καίσαρος Αὐγούστου

Λκ 3 : 1 ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος
Μτ 3 : 1 ἐν δὲ ταῖς ἡμέραις ἐκείναις
Μκ (———)

Μτ22 : 17 ἔξεστιν δοῦναι κῆνσον Καίσαρι ἢ οὔ
Μκ12 : 14 ἔξεστιν δοῦναι κῆνσον Καίσαρι ἢ οὔ
Λκ 20 : 22 ἔξεστιν ἡμᾶς Καίσαρι φόρον δοῦναι ἢ οὔ

Μτ22 : 21 λέγουσιν Καίσαρος
Μκ12 : 16 οἱ δὲ εἶπαν αὐτῷ Καίσαρος
Λκ 20 : 24 οἱ δὲ εἶπαν Καίσαρος

Μτ22 : 21 ἀπόδοτε οὖν τὰ Καίσαρος
Μκ12 : 17 τὰ Καίσαρος ἀπόδοτε
Λκ 20 : 25 τοίνυν ἀπόδοτε τὰ Καίσαρος

Μτ22 : 21 Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ
Μκ12 : 17 Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ
Λκ 20 : 25 Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ

Λκ 23 : 2 καὶ κωλύοντα φόρους Καίσαρι διδόναι
Μτ (———)
Μκ (———)

ΚΑΙΣΑΡΙΑ

Μτ16 : 13 ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου
Μκ 8 : 27 καὶ ἐξῆλθεν ὁ Ἰησοῦς . . . εἰς τὰς εἰς τὰς κώμας Καισαρείας τῆς Φιλίππου
Λκ 9 : 18 καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον κατὰ μόνας

ΚΑΙΩ

Μτ 5 : 15 οὐδὲ καίουσιν λύχνον καὶ τιθέασιν
Λκ 11 : 33 οὐδεὶς λύχνον ἅψας εἰς κρύπτην τίθησιν

Λκ 12 : 35 ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι
Μτ 25 : 4 αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον . . . μετὰ τῶν λαμπάδων ἑαυτῶν

Λκ 24 : 32 οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν

ΚΑΚΕΙ

Μκ 1 : 35 εἰς ἔρημον τόπον κἀκεῖ προσηύχετο
Λκ 4 : 42 εἰς ἔρημον τόπον καὶ οἱ ὄχλοι ἐπεζήτουν αὐτόν

Μτ 5 : 23 κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ
Λκ (———)

Μτ10 : 11 κἀκεῖ μείνατε ἕως ἂν ἐξέλθητε
Μκ 6 : 10 ἐκεῖ μένετε ἕως ἂν ἐξέλθητε ἐκεῖθεν
Λκ 9 : 4 ἐκεῖ μένετε καὶ ἐκεῖθεν ἐξέρχεσθε

Μτ28 : 10 εἰς τὴν Γαλιλαίαν κἀκεῖ με ὄψονται
Μκ (———)
Λκ (———)

ΚΑΚΕΙΘΕΝ

Μκ 9 : 30 κἀκεῖθεν ἐξελθόντες παρεπορεύοντο διὰ τῆς Γαλιλαίας
Μτ 17 : 22 Συστρεφομένων δὲ αὐτῶν ἐν τῇ Γαλιλαίᾳ
Λκ 9 : 43 πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν οἷς ἐποίει

Λκ 11 : 53 κἀκεῖθεν ἐξελθόντος αὐτοῦ ἤρξαντο οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι
Μτ (———)

ΚΑΚΕΙΝΟΣ

Μτ15 : 18 κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον
Μκ 7 : 20 ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον

Λκ 11 : 7 κἀκεῖνος ἔσωθεν ἀποκριθεὶς εἴπῃ

Μτ23 : 23 ταῦτα δὲ ἔδει ποιῆσαι κἀκεῖνα μὴ ἀφεῖναι
Λκ 11 : 42 ταῦτα δὲ ἔδει ποιῆσαι κἀκεῖνα μὴ παρεῖναι
Μκ (———)

Μκ12 : 4 κἀκεῖνον ἐκεφαλίωσαν καὶ ἠτίμασαν
Λκ 20 : 11 οἱ δὲ κἀκεῖνον δείραντες καὶ ἀτιμάσαντες
Μτ 21 : 36 καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως

Μκ12 : 5 κἀκεῖνον ἀπέκτειναν καὶ πολλοὺς ἄλλους οὓς μὲν δέροντες
Λκ 20 : 12 οἱ δὲ καὶ τοῦτον τραυματίσαντες ἐξέβαλον

Μτ (———)

Λκ 22 : 12 κἀκεῖνος ὑμῖν δείξει ἀνάγαιον μέγα ἐστρωμένον
Μκ 14 : 15 καὶ αὐτὸς ὑμῖν δείξει ἀνάγαιον μέγα ἐστρωμένον
Μτ (———)

Μκ16 : 11 κἀκεῖνοι ἀκούσαντες ὅτι ζῇ

Μκ16 : 13 κἀκεῖνοι ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς

ΚΑΚΙΑ

Μτ 6 : 34 ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς
Λκ (———)

ΚΑΚΟΛΟΓΕΩ

Μτ15 : 4 ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω
Μκ 7 : 10 ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω

Μκ 9 : 39 καὶ δυνήσεται ταχὺ κακολογῆσαί με
Λκ (———)

ΚΑΚΟΠΟΙΕΩ

Μκ 3 : 4 ἔξεστιν τοῖς σάββασιν ἀγαθὸν ποιῆσαι ἢ κακοποιῆσαι
Λκ 6 : 9 ἔξεστιν τῷ σαββάτῳ ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι
Μτ 12 : 12 ἔξεστιν τοῖς σάββασιν καλῶς ποιεῖν

ΚΑΚΟΣ

Μκ 7 : 21 ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται
Μτ 15 : 19 ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί φόνοι μοιχεῖαι

Λκ 16 : 25 καὶ Λάζαρος ὁμοίως τὰ κακά

Μτ21 : 41 λέγουσιν αὐτῷ κακοὺς κακῶς ἀπολέσει αὐτούς
Μκ 12 : 9 ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργούς
Λκ 20 : 16 ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργοὺς τούτους

Μτ24 : 48 ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος
Λκ 12 : 45 ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος

Μτ27 : 23 τί γὰρ κακὸν ἐποίησεν
Μκ15 : 14 τί γὰρ ἐποίησεν κακόν
Λκ 23 : 22 τί γὰρ κακὸν ἐποίησεν οὗτος

ΚΑΚΟΥΡΓΟΣ

Λκ 23 : 32 ἤγοντο δὲ καὶ ἕτεροι κακοῦργοι δύο σὺν αὐτῷ ἀναιρεθῆναι
Μτ 27 : 38 τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί
Μκ 15 : 27 καὶ σὺν αὐτῷ σταυροῦσιν δύο λῃστάς

Λκ 23 : 33 ἐκεῖ ἐσταύρωσαν αὐτὸν καὶ τοὺς κακούργους
Μτ 27 : 35 σταυρώσαντες δὲ αὐτὸν
Μκ 15 : 24 καὶ σταυροῦσιν αὐτόν

Λκ 23 : 39 εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτόν
Μτ 27 : 44 τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρωθέντες σὺν αὐτῷ ὠνείδιζον
Μκ 15 : 32 καὶ οἱ συνεσταυρωμένοι σὺν αὐτῷ ὠνείδιζον αὐτόν

ΚΑΚΩΣ

Μκ 1 : 32 πάντας τοὺς κακῶς ἔχοντας καὶ τοὺς δαιμονιζομένους
Μτ 8 : 16 δαιμονιζομένους πολλούς
Λκ 4 : 40 ἅπαντες ὅσοι εἶχον ἀσθενοῦντας νόσοις ποικίλαις

Μκ 1 : 34 καὶ ἐθεράπευσεν πολλοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις
Μτ 8 : 16 καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν
Λκ 4 : 40 ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιτιθεὶς

Μτ 4 : 24 καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας . . . καὶ ἐθεράπευσεν αὐτούς
Μκ 3 : 10 πολλοὺς γὰρ ἐθεράπευσεν . . . ἵνα αὐτοῦ ἅψωνται ὅσοι εἶχον μάστιγας
Λκ 6 : 18 καὶ οἱ ἐνοχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων ἐθεραπεύοντο

Μτ 9 : 12 οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ ἀλλ' οἱ κακῶς ἔχοντες
Μκ 2 : 17 οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ ἀλλ' οἱ κακῶς ἔχοντες
Λκ 5 : 31 οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ ἀλλὰ οἱ κακῶς ἔχοντες

Λκ 7 : 2 τινος δοῦλος κακῶς ἔχων ἤμελλεν τελευτᾶν ὃς ἦν αὐτῷ ἔντιμος

Μτ 8 : 6 ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικός δεινῶς βασανιζόμενος

Μτ14 : 35 καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας
Μκ 6 : 55 ἐπὶ τοῖς κραβάτοις τοὺς κακῶς ἔχοντας περιφέρειν

Μτ15 : 22 ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται
Μκ 7 : 25 ἧς εἶχεν τὸ θυγάτριον αὐτῆς πνεῦμα ἀκάθαρτον

Μτ17 : 15 ἐλέησόν μου τὸν υἱόν ὅτι σεληνιάζεται καὶ κακῶς ἔχει
Μκ 9 : 17 ἤνεγκα τὸν υἱόν μου πρὸς σέ ἔχοντα πνεῦμα ἄλαλον
Λκ 9 : 38 δέομαί σου ἐπίβλεψαι ἐπὶ τὸν υἱόν μου ὅτι μονογενής μοί ἐστιν

Μτ21 : 41 κακοὺς κακῶς ἀπολέσει αὐτούς καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις γεωργοῖς
Μκ 12 : 9 ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργούς καὶ δώσει τὸν ἀμπελῶνα ἄλαλον
Λκ 20 : 16 ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργοὺς . . . καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις

ΚΑΛΑΜΟΣ

Μτ11 : 7 κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον
Λκ 7 : 24 κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον

Μτ12 : 20 κάλαμον συντετριμμένον οὐ κατεάξει
Μκ (———)
Λκ (———)

Μτ27 : 29 καὶ κάλαμον ἐν τῇ δεξιᾷ αὐτοῦ
Μκ (———)

Μτ27 : 30 ἔλαβον τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ
Μκ15 : 19 καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ

Μτ27 : 48 σπόγγον πλήσας τε ὄξους καὶ περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν
Μκ15 : 36 σπόγγον ὄξους περιθεὶς καλάμῳ ἐπότιζεν αὐτὸν
Λκ 23 : 36 προσερχόμενοι ὄξος προσφέροντες αὐτῷ

ΚΑΛΕΩ

Μτ 1 : 21 τέξεται δὲ υἱόν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν

Μτ 1 : 23 τέξεται υἱόν καὶ καλέσουσιν τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ

Μτ 1 : 25 ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Ἰησοῦν

Μτ 2 : 7 τότε Ἡρῴδης λάθρα καλέσας τοὺς μάγους

Μτ 2 : 15 ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου

Μτ 2 : 23 τὸ ῥηθὲν διὰ τῶν προφητῶν ὅτι Ναζωραῖος κληθήσεται

Λκ 1 : 13 καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην

Λκ 1 : 31 καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν

Λκ 1 : 32 υἱὸς ὑψίστου κληθήσεται

Λκ 1 : 35 διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς θεοῦ

Λκ 1 : 36 οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ

Λκ 1 : 59 ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ Ζαχαρίαν

Λκ 1 : 60 οὐχί ἀλλὰ κληθήσεται Ἰωάννης

Λκ 1 : 61 ὃς καλεῖται τῷ ὀνόματι τούτῳ

Λκ 1 : 62 τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτό

Λκ 1 : 76 προφήτης ὑψίστου κληθήσῃ

Λκ 2 : 4 εἰς πόλιν Δαυὶδ ἥτις καλεῖται Βηθλέεμ

Λκ 2 : 21 ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς

Λκ 2 : 21 τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου

Λκ 2 : 23 πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ κυρίῳ κληθήσεται

Μτ 4 : 21 καὶ ἐκάλεσεν αὐτούς οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον
Μκ 1 : 20 καὶ εὐθὺς ἐκάλεσεν αὐτούς καὶ ἀφέντες τὸν πατέρα
Λκ 5 : 11 καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν ἀφέντες πάντα

Μτ 5 : 9 ὅτι υἱοὶ θεοῦ κληθήσονται
Λκ (———)

Μτ 5 : 19 ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν

Μτ 5 : 19 οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν

Μτ 9 : 13 οὐ γὰρ ἦλθον καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλούς
Μκ 2 : 17 οὐκ ἦλθον καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλούς
Λκ 5 : 32 οὐκ ἐλήλυθα καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλοὺς

Λκ 6 : 15 καὶ Σίμωνα τὸν καλούμενον ζηλωτήν
Μτ 10 : 4 Σίμων ὁ Καναναῖος
Μκ 3 : 18 καὶ Σίμωνα τὸν Καναναῖον

Λκ 6 : 46 τί δέ με καλεῖτε κύριε κύριε
Μτ 7 : 21 οὐ πᾶς ὁ λέγων μοι κύριε κύριε

Λκ 7 : 11 ἐπορεύθη εἰς πόλιν καλουμένην Ναΐν

Λκ 7 : 39 ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν εἶπεν ἐν ἑαυτῷ λέγων
Μτ 26 : 8 ἰδόντες δὲ οἱ μαθηταὶ ἠγανάκτησαν λέγοντες
Μκ 14 : 4 ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς ἑαυτούς

Λκ 8 : 2 Μαρία ἡ καλουμένη Μαγδαληνή ἀφ' ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει
Μκ 16 : 9 Μαρίᾳ τῇ Μαγδαληνῇ παρ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια

Μκ 3 : 31 καὶ ἔξω στήκοντες ἀπέστειλαν πρὸς αὐτὸν καλοῦντες αὐτόν
Μτ 12 : 46 ἔξω ζητοῦντες αὐτῷ λαλῆσαι
Λκ 8 : 19 καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον

Λκ 9 : 10 ὑπεχώρησεν κατ' ἰδίαν εἰς πόλιν καλουμένην Βηθσαϊδά
Μτ 14 : 13 ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ'ἰδίαν
Μκ 6 : 32 ἀπῆλθον ἐν τῷ πλοίῳ εἰς ἔρημον τόπον κατ'ἰδίαν

Λκ 10 : 39 καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαριάμ

Λκ 14 : 7 Ἔλεγεν δὲ πρὸς τοὺς κεκλημένους παραβολήν

Λκ 14 : 8 ὅταν κληθῇς ὑπό τινος εἰς γάμους

Λκ 14 : 8 μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ' αὐτοῦ

Λκ 14 : 9 καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας ἐρεῖ σοι

Λκ 14 : 10 ἀλλ' ὅταν κληθῇς

Λκ 14 : 10 ἵνα ὅταν ἔλθῃ ὁ κεκληκώς σε ἐρεῖ σοι

Λκ 14 : 12 Ἔλεγεν δὲ καὶ τῷ κεκληκότι αὐτόν

Λκ 14 : 13 ἀλλ' ὅταν δοχὴν ποιῇς κάλει πτωχούς

Μτ22 : 3 καὶ ἀπέστειλεν τοὺς δούλους αὐτοῦ καλέσαι
Λκ 14 : 16 καὶ ἐκάλεσεν πολλούς καὶ ἀπέστειλεν τὸν δοῦλον

Μτ22 : 4 εἴπατε τοῖς κεκλημένοις
Λκ 14 : 17 εἰπεῖν τοῖς κεκλημένοις

Μτ22 : 8 οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι
Λκ 14 : 24 οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου

Λκ 15 : 19 οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου

Λκ 15 : 21 οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου

Μτ20 : 8 κάλεσον τοὺς ἐργάτας καὶ ἀπόδος

Λκ 19 : 2 καὶ ἰδοὺ ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος

Μτ25 : 14 ἐκάλεσεν τοὺς ἰδίους δούλους καὶ παρέδωκεν
Λκ 19 : 13 καλέσας δὲ δέκα δούλους ἑαυτοῦ ἔδωκεν
Μκ 13 : 34 ἀφεὶς τὴν οἰκίαν αὐτοῦ καὶ δοὺς τοῖς δούλοις αὐτοῦ

Λκ 19 : 29 εἰς Βηθφαγὴ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τὸ καλούμενον ἐλαιών
Μτ 21 : 1 καὶ ἦλθον εἰς Βηθφαγὴ εἰς τὸ ὄρος τῶν ἐλαιῶν
Μκ 11 : 1 εἰς Βηθφαγὴ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τῶν ἐλαιῶν

Μτ21 : 13 ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται
Μκ11 : 17 ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσιν τοῖς ἔθνεσιν
Λκ 19 : 46 καὶ ἔσται ὁ οἶκός μου οἶκος προσευχῆς

Μτ22 : 3 τοὺς κεκλημένους
Λκ 14 : 16 πολλούς

Μτ22 : 9 πορεύεσθε . . . καὶ ὅσους ἐὰν εὕρητε καλέσατε εἰς τοὺς γάμους
Λκ 14 : 23 ἔξελθε . . . ἵνα γεμισθῇ μου ὁ οἶκος

Μτ22 : 43 πῶς οὖν Δαυὶδ ἐν πνεύματι καλεῖ αὐτὸν κύριον λέγων
Μκ 12 : 36 αὐτὸς Δαυὶδ εἶπεν ἐν τῷ πνεύματι τῷ ἁγίῳ
Λκ 20 : 42 αὐτὸς γὰρ Δαυὶδ λέγει ἐν βίβλῳ ψαλμῶν

Μτ22 : 45 εἰ οὖν Δαυὶδ καλεῖ αὐτὸν κύριον
Λκ 20 : 44 Δαυὶδ οὖν αὐτὸν κύριον καλεῖ
Μκ 12 : 37 αὐτὸς Δαυὶδ λέγει αὐτὸν κύριον

Μτ23 : 7 καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ῥαββί
Μκ (———)
Λκ (———)

Μτ23 : 8 ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββί
Μκ (———)
Λκ (———)

Μτ23 : 9 καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς
Μκ (———)
Λκ (———)

Μτ23 : 10 μηδὲ κληθῆτε καθηγηταί ὅτι καθηγητὴς
Μκ (———)
Λκ (———)

Λκ 21 : 37 τὰς δὲ νύκτας ἐξερχόμενος ηὐλίζετο εἰς τὸ ὄρος τὸ καλούμενον ἐλαιῶν
Μτ 21 : 17 ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν καὶ ηὐλίσθη ἐκεῖ
Μκ 11 : 19 καὶ ὅταν ὀψὲ ἐγένετο ἐξεπορεύοντο ἔξω τῆς πόλεως

Λκ 22 : 3 εἰσῆλθεν δὲ σατανᾶς εἰς Ἰούδαν τὸν καλούμενον Ἰσκαριώτην
Μτ 26 : 14 τότε πορευθεὶς εἷς τῶν δώδεκα ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης
Μκ 14 : 10 καὶ Ἰούδας Ἰσκαριὼθ ὁ εἷς τῶν δώδεκα

Λκ 22 : 25 καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται
Μτ 20 : 25 καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν
Μκ 10 : 42 καὶ οἱ μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν

Μτ27 : 8 διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος ἕως τῆς σήμερον

Λκ 23 : 33 ἐπὶ τὸν τόπον τὸν καλούμενον Κρανίον
Μτ 27 : 33 εἰς τόπον λεγόμενον Γολγοθᾶ ὅ ἐστιν κρανίου τόπος λεγόμενος
Μκ 15 : 22 ἐπὶ τὸν Γολγοθᾶν τόπον ὅ ἐστιν μεθερμηνευόμενος κρανίου τόπος

ΚΑΛΟΣ

Μτ 3 : 10 πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν
Λκ 3 : 9 πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν

Μτ 5 : 16 ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσιν
Λκ (———)

Μτ 7 : 17 οὕτως πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ
Λκ 6 : 43 οὐ γάρ ἐστιν δένδρον καλὸν ποιοῦν καρπὸν σαπρόν

Μτ 7 : 18 οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ἐνεγκεῖν
Λκ 6 : 43 οὐδὲ πάλιν δένδρον σαπρὸν ποιοῦν καρπὸν καλόν

Μτ 7 : 19 πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται
Λκ 6 : 44 ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται

Λκ 6 : 38 μέτρον καλὸν πεπιεσμένον σεσαλευμένον ὑπερεκχυννόμενον
Μτ (———)

Μτ12 : 33 ἢ ποιήσατε τὸ δένδρον καλὸν
Λκ 6 : 43 οὐ γάρ ἐστιν δένδρον καλὸν ποιοῦν καρπὸν σαπρόν

Μτ12 : 33 καὶ τὸν καρπὸν αὐτοῦ καλόν
Λκ 6 : 43 οὐδὲ πάλιν δένδρον σαπρὸν ποιοῦν καρπὸν καλόν

Μτ13 : 8 ἐπὶ τὴν γῆν τὴν καλὴν καὶ ἐδίδου καρπόν
Μκ 4 : 8 εἰς τὴν γῆν τὴν καλήν καὶ ἐδίδου καρπὸν
Λκ 8 : 8 εἰς τὴν γῆν τὴν ἀγαθήν καὶ φυὲν ἐποίησεν καρπὸν

Μτ13 : 23 ὁ δὲ ἐπὶ τὴν καλὴν γῆν σπαρείς
Μκ 4 : 20 καὶ ἐκεῖνοί εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρέντες
Λκ 8 : 15 τὸ δὲ ἐν τῇ καλῇ γῇ

Λκ 8 : 15 οὗτοί εἰσιν οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ ἀκούσαντες
Μτ 13 : 23 οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ συνιείς
Μκ 4 : 20 οἵτινες ἀκούουσιν τὸν λόγον καὶ παραδέχονται

Μτ13 : 24 ἀνθρώπῳ σπείραντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ

Μτ13 : 27 κύριε οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ σῷ ἀγρῷ

Μτ13 : 37 ὁ σπείρων τὸ καλὸν σπέρμα ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου

Μτ13 : 38 τὸ δὲ καλὸν σπέρμα οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας

Μτ13 : 45 ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας

Μτ13 : 48 καὶ καθίσαντες συνέλεξαν τὰ καλὰ εἰς ἄγγη

Μτ15 : 26 οὐκ ἔστιν καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων
Μκ 7 : 27 οὐ γάρ ἐστιν καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων

Μτ17 : 4 κύριε καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι
Μκ 9 : 5 ῥαββί καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι
Λκ 9 : 33 ἐπιστάτα καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι

Μκ 9 : 42 καλόν ἐστιν αὐτῷ μᾶλλον εἰ περίκειται
Μτ 18 : 6 συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ
Λκ 17 : 2 λυσιτελεῖ αὐτῷ εἰ λίθος μυλικὸς περίκειται

Μτ18 : 8 καλόν σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν
Μκ 9 : 43 καλόν ἐστίν σε κυλλὸν εἰσελθεῖν εἰς τὴν ζωὴν
Λκ (———)

Μκ 9 : 45 καλόν ἐστίν σε εἰσελθεῖν εἰς τὴν ζωὴν χωλόν
Μτ (———)
Λκ (———)

Μτ18 : 9 καλόν σοί ἐστιν μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν
Μκ 9 : 47 καλόν σέ ἐστιν μονόφθαλμον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ
Λκ (———)

Μκ 9 : 50 καλὸν τὸ ἅλας ἐὰν δὲ τὸ ἅλας
Λκ 14 : 34 καλὸν οὖν τὸ ἅλας ἐὰν δὲ καὶ τὸ ἅλας
Μτ 5 : 13 ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς ἐὰν δὲ τὸ ἅλας

Λκ 21 : 5 ὅτι λίθοις καλοῖς καὶ ἀναθήμασιν κεκόσμηται
Μτ 24 : 1 ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ
Μκ 13 : 1 διδάσκαλε ἴδε ποταποὶ λίθοι καὶ ποταπαὶ οἰκοδομαί

Μτ26 : 10 τί κόπους παρέχετε τῇ γυναικί ἔργον γὰρ καλὸν ἠργάσατο εἰς ἐμέ
Μκ14 : 6 ἄφετε αὐτήν τί αὐτῇ κόπους παρέχετε καλὸν ἔργον ἠργάσατο ἐν ἐμοί
Λκ 7 : 44 βλέπεις ταύτην τὴν γυναῖκα . . . εἰς τὴν οἰκίαν ὕδωρ μοι

Μτ26 : 24 καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος
Μκ14 : 21 καλὸν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος
Λκ (———)

ΚΑΛΥΠΤΩ

Μτ 8 : 24 ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων
Μκ 4 : 37 τὰ κύματα ἐπέβαλλεν εἰς τὸ πλοῖον ὥστε ἤδη γεμίζεσθαι τὸ πλοῖον
Λκ 8 : 23 καὶ συνεπληροῦντο καὶ ἐκινδύνευον

Μτ10 : 26 οὐδὲν γάρ ἐστιν κεκαλυμμένον ὃ οὐκ
Λκ 12 : 2 οὐδὲν δὲ συγκεκαλυμμένον ἐστὶν ὃ οὐκ

Λκ 8 : 16 οὐδεὶς δὲ λύχνον ἅψας καλύπτει αὐτὸν
Μκ 4 : 21 μήτι ἔρχεται ὁ λύχνος
Μτ (———)

Λκ 23 : 30 καὶ τοῖς βουνοῖς καλύψατε ἡμᾶς
Μτ (———)
Μκ (———)

ΚΑΛΩΣ

Μτ12 : 12 ὥστε ἔξεστιν τοῖς σάββασιν καλῶς ποιεῖν
Μκ 3 : 4 καὶ λέγει αὐτοῖς ἔξεστιν τοῖς σάββασιν ἀγαθὸν ποιῆσαι
Λκ 6 : 9 ἐπερωτῶ ὑμᾶς εἰ ἔξεστιν τῷ σαββάτῳ ἀγαθοποιῆσαι

Λκ 6 : 26 οὐαὶ ὅταν καλῶς ὑμᾶς εἴπωσιν πάντες οἱ ἄνθρωποι

Λκ 6 : 27 καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς
Μτ (———)

Λκ 6 : 48 διὰ τὸ καλῶς οἰκοδομῆσθαι αὐτήν
Μτ 7 : 25 τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν

Μτ15 : 7 καλῶς ἐπροφήτευσεν περὶ ὑμῶν Ἡσαΐας
Μκ 7 : 6 καλῶς ἐπροφήτευσεν Ἡσαΐας περὶ ὑμῶν

Μκ 7 : 9 καλῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ θεοῦ
Μτ 15 : 3 διὰ τί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ θεοῦ

Μκ 7 : 37 λέγοντες καλῶς πάντα πεποίηκεν καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν
Μτ 15 : 31 βλέποντας κωφοὺς λαλοῦντας

Λκ 20 : 39 τινες τῶν γραμματέων εἶπαν διδάσκαλε καλῶς εἶπας
Μτ (———)
Μκ (———)

Μκ12 : 28 εἷς τῶν γραμματέων . . . εἰδὼς ὅτι καλῶς ἀπεκρίθη αὐτοῖς
Μτ 22 : 35 καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν νομικὸς πειράζων αὐτόν
Λκ 10 : 25 ἰδοὺ νομικός τις ἀνέστη ἐκπειράζων αὐτὸν λέγων

Μκ12 : 32 καὶ εἶπεν αὐτῷ ὁ γραμματεύς καλῶς διδάσκαλε ἐπ' ἀληθείας εἶπες
Μτ (———)
Λκ (———)

Μκ16 : 18 ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσιν καὶ καλῶς ἕξουσιν
Λκ 10 : 19 ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει

ΚΑΜΗΛΟΣ

Μτ 3 : 4 αὐτὸς δὲ ὁ Ἰωάννης εἶχεν τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου
Μκ 1 : 4 ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ καὶ κηρύσσων
Λκ (———)

Μκ 1 : 6 καὶ ἦν ὁ Ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου
Μτ (———)
Λκ (———)

Μτ19 : 24 εὐκοπώτερόν ἐστιν κάμηλον διὰ τρήματος ῥαφίδος
Μκ10 : 25 εὐκοπώτερόν ἐστιν κάμηλον διὰ τῆς τρυμαλιᾶς τῆς ῥαφίδος
Λκ 18 : 25 εὐκοπώτερον γάρ ἐστιν κάμηλον διὰ τρήματος βελόνης

Μτ23 : 24 ὁδηγοὶ τυφλοί οἱ διϋλίζοντες τὸν κώνωπα τὴν δὲ κάμηλον καταπίνοντες
Μκ (———)
Λκ (———)

ΚΑΜΙΝΟΣ

Μτ13 : 42 καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός

Μτ13 : 50 καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός

ΚΑΜΜΥΩ

Μτ13 : 15 καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν
Μκ (———)
Λκ (———)

ΚΑ'Ν

Μκ 5 : 28 ἔλεγεν γὰρ ὅτι ἐὰν ἅψωμαι κἂν τῶν ἱματίων αὐτοῦ
Μτ 9 : 21 ἔλεγεν γὰρ ἐν ἑαυτῇ ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ
Λκ (———)

Μκ 6 : 56 ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται
Μτ 14 : 36 ἵνα μόνον ἅψωνται τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ

Λκ 12 : 38 κἂν ἐν τῇ δευτέρᾳ κἂν ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ
Μτ 24 : 42 ὅτι οὐκ οἴδατε ποίᾳ ἡμέρᾳ ὁ κύριος ὑμῶν ἔρχεται
Μκ 13 : 35 οὐκ οἴδατε γὰρ πότε ὁ κύριος τῆς οἰκίας ἔρχεται ἢ ὀψὲ

Λκ 12 : 38 κἂν ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ καὶ εὕρῃ οὕτως
Μτ 25 : 13 ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν
Μκ 13 : 35 ἢ μεσονύκτιον ἢ ἀλεκτοροφωνίας ἢ πρωΐ μὴ ἐλθὼν ἐξαίφνης εὕρῃ ὑμᾶς

Λκ 13 : 9 κἂν μὲν ποιήσῃ καρπὸν εἰς τὸ μέλλον

Μτ21 : 21 ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε
Μκ 11 : 23 ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ

Μτ26 : 35 λέγει αὐτῷ ὁ Πέτρος κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν
Μκ 14 : 31 ὁ δὲ ἐκπερισσῶς ἐλάλει ἐὰν δέῃ με συναποθανεῖν σοι
Λκ (———)

Μκ16 : 18 ὄφεις ἀροῦσιν κἂν θανάσιμόν τι πίωσιν οὐ μὴ αὐτοὺς βλάψῃ
Λκ 10 : 19 πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων . . . οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει

ΚΑΝΑΝΑΙΟΣ

Μτ10 : 4 Σίμων ὁ Καναναῖος
Μκ 3 : 18 καὶ Σίμωνα τὸν Καναναῖον
Λκ 6 : 15 καὶ Σίμωνα τὸν καλούμενον ζηλωτήν

ΚΑΡΔΙΑ

Λκ 1 : 17 ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα

Λκ 1 : 51 διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν

Λκ 1 : 66 καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν

Λκ 2 : 19 συνετήρει τὰ ῥήματα ταῦτα συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς

Λκ 2 : 35 ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί

Λκ 2 : 51 διετήρει πάντα τὰ ῥήματα ἐν τῇ καρδίᾳ αὐτῆς

Λκ 3 : 15 καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου
 Μτ (———)
 Μκ (———)

Μτ 5 : 8 μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ
 Λκ (———)

Μτ 5 : 28 ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ

Μτ 6 : 21 ἐκεῖ ἔσται καὶ ἡ καρδία σου
Λκ 12 : 34 ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται

Μκ 2 : 6 καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν τί οὗτος
 Μτ 9 : 3 εἶπαν ἐν ἑαυτοῖς οὗτος
 Λκ 5 : 21 λέγοντες τίς ἐστιν οὗτος

Μτ 9 : 4 ἱνατί ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν
Μκ 2 : 8 τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν
Λκ 5 : 22 τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν

Μτ 11 : 29 ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ

Μκ 3 : 5 συλλυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐτῶν
 Μτ (———)
 Λκ (———)

Λκ 6 : 45 ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας προφέρει τὸ ἀγαθόν
 Μτ 12 : 35 ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ ἐκβάλλει ἀγαθά
 Μκ (———)

Λκ 6 : 45 ἐκ γὰρ περισσεύματος καρδίας λαλεῖ τὸ στόμα
 Μτ 12 : 35 ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά
 Μκ (———)

Μτ 12 : 34 ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ
 Μκ (———)
 Λκ (———)

Μτ 12 : 40 οὕτως ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς
 Λκ 11 : 30 οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου τῇ γενεᾷ ταύτῃ

Μτ 13 : 15 ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου
 Μκ (———)
 Λκ (———)

Μτ 13 : 15 καὶ τῇ καρδίᾳ συνῶσιν καὶ ἐπιστρέψωσιν
 Μκ (———)
 Λκ (———)

Μτ 13 : 19 καὶ ἁρπάζει τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ
Λκ 8 : 12 καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν
 Μκ 4 : 15 καὶ αἴρει τὸν λόγον τὸν ἐσπαρμένον εἰς αὐτούς

Λκ 8 : 15 οὗτοί εἰσιν οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ ἀκούσαντες
 Μτ 13 : 23 οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων
 Μκ 4 : 20 οἵτινες ἀκούουσιν τὸν λόγον καὶ παραδέχονται

Μκ 6 : 52 οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις ἀλλ᾽ ἦν αὐτῶν ἡ καρδία πεπωρωμένη
 Μτ 14 : 33 ἀληθῶς θεοῦ υἱὸς εἶ

Μτ 15 : 8 ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ᾽ ἐμοῦ
Μκ 7 : 6 ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ᾽ ἐμοῦ

Μκ 7 : 19 ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν
 Μτ (———)

Μτ 15 : 18 τὰ δὲ ἐκπορευόμενα ἐκ τοῦ στόματος ἐκ τῆς καρδίας ἐξέρχεται
 Μκ 7 : 20 ἔλεγεν δὲ ὅτι τὸ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενον

Μτ 15 : 19 ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ
Μκ 7 : 21 ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ

Μκ 8 : 17 πεπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν
 Μτ (———)
 Λκ (———)

Λκ 9 : 47 ὁ δὲ Ἰησοῦς εἰδὼς τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν
 Μτ 18 : 1 τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν

Μκ 9 : 33 τί ἐν τῇ ὁδῷ διελογίζεσθε . . . πρὸς ἀλλήλους γὰρ διελέχθησαν

Μτ18 : 35 ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν

Μτ22 : 37 ἐν ὅλῃ τῇ καρδίᾳ σου
Μκ12 : 30 ἐξ ὅλης τῆς καρδίας σου
Λκ 10 : 27 ἐν ὅλῃ τῇ καρδίᾳ σου

Μτ24 : 48 ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ
Λκ 12 : 45 ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ

Λκ 16 : 15 ὁ δὲ θεὸς γινώσκει τὰς καρδίας ὑμῶν

Μκ11 : 23 καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ
Μτ 21 : 21 καὶ μὴ διακριθῆτε οὐ μόνον τὸ τῆς συκῆς

Μκ12 : 33 καὶ τὸ ἀγαπᾶν αὐτὸν ἐξ ὅλης τῆς καρδίας
Μτ (———)
Λκ (———)

Λκ 21 : 14 θέτε οὖν ἐν ταῖς καρδίαις ὑμῶν μὴ προμελετᾶν
Μτ 10 : 19 ὅταν δὲ παραδῶσιν ὑμᾶς μὴ μεριμνήσητε
Μκ 13 : 11 καὶ ὅταν ἄγωσιν ὑμᾶς παραδιδόντες μὴ προμεριμνᾶτε

Λκ 21 : 34 μήποτε βαρηθῶσιν ὑμῶν αἱ καρδίαι . . . καὶ ἐπιστῇ ἐφ' ὑμᾶς αἰφνίδιος ἡ ἡμέρα
Μτ 24 : 36 περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν
Μκ 13 : 32 περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ τῆς ὥρας οὐδεὶς οἶδεν

Λκ 24 : 25 ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν

Λκ 24 : 32 οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν

Λκ 24 : 38 καὶ διὰ τί διαλογισμοὶ ἀναβαίνουσιν ἐν τῇ καρδίᾳ ὑμῶν

ΚΑΡΠΟΣ

Λκ 1 : 42 καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου

Μτ 3 : 8 ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας
Λκ 3 : 8 ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας

Μτ 3 : 10 πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν
Λκ 3 : 9 πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν

Μτ 7 : 16 ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς
Λκ (———)

Μτ 7 : 17 οὕτως πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ
Λκ (———)

Μτ 7 : 17 τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ
Λκ (———)

Μτ 7 : 18 οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν
Λκ 6 : 43 οὐ γάρ ἐστιν δένδρον καλὸν ποιοῦν καρπὸν σαπρόν

Μτ 7 : 18 οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ἐνεγκεῖν ποιεῖν
Λκ 6 : 43 οὐδὲ πάλιν δένδρον σαπρὸν ποιοῦν καρπὸν καλόν

Μτ 7 : 19 πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν
Λκ 6 : 44 οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσιν σῦκα οὐδὲ ἐκ βάτου

Μτ 7 : 20 ἄρα γε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς
Λκ 6 : 44 ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται

Μτ12 : 33 ἢ ποιήσατε τὸ δένδρον καλὸν καὶ τὸν καρπὸν αὐτοῦ καλόν
Λκ 6 : 43 οὐ γάρ ἐστιν δένδρον καλὸν ποιοῦν καρπὸν σαπρόν
Μκ (———)

Μτ12 : 33 ἢ ποιήσατε τὸ δένδρον σαπρὸν καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν
Λκ 6 : 43 οὐδὲ πάλιν δένδρον σαπρὸν ποιοῦν καρπὸν καλόν
Μκ (———)

Μτ12 : 33 ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται
Λκ 6 : 44 ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται
Μκ (———)

Μκ 4 : 7 καὶ καρπὸν οὐκ ἔδωκεν
Μτ (———)
Λκ (———)

Μτ13 : 8 ἔπεσεν ἐπὶ τὴν γῆν τὴν καλὴν καὶ ἐδίδου καρπόν
Μκ 4 : 8 ἔπεσεν εἰς τὴν γῆν τὴν καλήν καὶ ἐδίδου καρπόν

Λκ 8 : 8 ἔπεσεν εἰς τὴν γῆν τὴν ἀγαθήν καὶ φυὲν ἐποίησεν καρπὸν

Μκ 4 : 29 ὅταν δὲ παραδοῖ ὁ καρπός

Μτ13 : 26 ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος καὶ καρπὸν ἐποίησεν

Λκ 12 : 17 ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου

Λκ 13 : 6 καὶ ἦλθεν ζητῶν καρπὸν ἐν αὐτῇ καὶ οὐχ εὗρεν

Λκ 13 : 7 ἰδοὺ τρία ἔτη ἀφ' οὗ ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ

Λκ 13 : 9 κἂν μὲν ποιήσῃ καρπὸν εἰς τὸ μέλλον

Μτ21 : 19 οὐ μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα
Μκ11 : 14 μηκέτι εἰς τὸν αἰῶνα ἐκ σοῦ μηδεὶς καρπὸν φάγοι

Μτ21 : 34 ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν ἀπέστειλεν τοὺς δούλους
Μκ 12 : 2 καὶ ἀπέστειλεν πρὸς τοὺς γεωργοὺς τῷ καιρῷ δοῦλον
Λκ 20 : 10 καὶ καιρῷ ἀπέστειλεν πρὸς τοὺς γεωργοὺς δοῦλον

Μτ21 : 34 πρὸς τοὺς γεωργοὺς λαβεῖν τοὺς καρποὺς αὐτοῦ
Μκ12 : 2 ἵνα παρὰ τῶν γεωργῶν λάβῃ ἀπὸ τῶν καρπῶν
Λκ 20 : 10 ἵνα ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος δώσουσιν αὐτῷ

Μτ21 : 41 οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν
Λκ 20 : 16 ἀκούσαντες
Μκ (———)

Μτ21 : 43 καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς
Μκ (———)
Λκ (———)

ΚΑΡΠΟΦΟΡΕΩ

Μτ13 : 23 ὃς δὴ καρποφορεῖ καὶ ποιεῖ ὃ μὲν ἑκατόν ὃ δὲ ἑξήκοντα
Μκ 4 : 20 καὶ καρποφοροῦσιν ἐν τριάκοντα καὶ ἐν ἑξήκοντα
Λκ 8 : 15 κατέχουσιν καὶ καρποφοροῦσιν ἐν ὑπομονῇ

Μκ 4 : 28 αὐτομάτη ἡ γῆ καρποφορεῖ πρῶτον χόρτον

ΚΑΡΦΟΣ

Μτ 7 : 3 τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου
Λκ 6 : 41 τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου

Μτ 7 : 4 ἄφες ἐκβάλω τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ σου
Λκ 6 : 42 ἀδελφέ ἄφες ἐκβάλω τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ σου

Μτ 7 : 5 καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ
Λκ 6 : 42 καὶ τότε διαβλέψεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ

ΚΑΤΑ [C. GEN.]

Λκ 4 : 14 καὶ φήμη ἐξῆλθεν καθ' ὅλης τῆς περιχώρου περὶ αὐτοῦ
Μτ 4 : 17 ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν
Μκ 1 : 14 κηρύσσων τὸ εὐαγγέλιον τοῦ θεοῦ καὶ λέγων

Μτ 5 : 11 καὶ εἴπωσιν πᾶν πονηρὸν καθ' ὑμῶν
Λκ 6 : 22 καὶ ἐκβάλωσιν τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν

Μτ 5 : 23 μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ
Λκ (———)

Μτ 8 : 32 καὶ ἰδοὺ ὥρμησεν πᾶσα ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ
Μκ 5 : 13 καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ
Λκ 8 : 33 καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ

Μτ10 : 35 ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ
Λκ 12 : 53 διαμερισθήσονται πατὴρ ἐπὶ υἱῷ καὶ υἱὸς ἐπὶ πατρί

Μτ10 : 35 καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς
Λκ 12 : 53 μήτηρ ἐπὶ τὴν θυγατέρα καὶ θυγάτηρ ἐπὶ τὴν μητέρα

Μτ10 : 35 καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς
Λκ 12 : 53 πενθερὰ ἐπὶ τὴν νύμφην αὐτῆς καὶ νύμφη ἐπὶ τὴν πενθεράν

Μτ12 : 14 συμβούλιον ἔλαβον κατ' αὐτοῦ ὅπως αὐτὸν ἀπολέσωσιν
Μκ 3 : 6 συμβούλιον ἐδίδουν κατ' αὐτοῦ ὅπως αὐτὸν ἀπολέσωσιν

Λκ 6 : 11 διελάλουν πρὸς ἀλλήλους τί ἂν ποιήσαιεν τῷ ᾿Ιησοῦ

Μτ12 : 25 πᾶσα βασιλεία μερισθεῖσα καθ᾿ ἑαυτῆς ἐρημοῦται
Μκ 3 : 24 καὶ ἐὰν βασιλεία ἐφ᾿ ἑαυτὴν μερισθῇ οὐ δύναται
Λκ 11 : 17 πᾶσα βασιλεία ἐφ᾿ ἑαυτὴν διαμερισθεῖσα ἐρημοῦται

Μτ12 : 25 καὶ πᾶσα πόλις ἢ οἰκία μερισθεῖσα καθ᾿ ἑαυτῆς οὐ σταθήσεται
Μκ 3 : 25 καὶ ἐὰν οἰκία ἐφ᾿ ἑαυτὴν μερισθῇ
Λκ 11 : 17 καὶ οἶκος ἐπὶ οἶκον πίπτει

Μτ12 : 30 ὁ μὴ ὢν μετ᾿ ἐμοῦ κατ᾿ ἐμοῦ ἐστιν
Λκ 11 : 23 ὁ μὴ ὢν μετ᾿ ἐμοῦ κατ᾿ ἐμοῦ ἐστιν
Μκ (———)

Μτ12 : 32 καὶ ὃς ἐὰν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου
Λκ 12 : 10 καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου
Μκ (———)

Μτ12 : 32 ὃς δ᾿ ἂν εἴπῃ κατὰ τοῦ πνεύματος τοῦ ἁγίου
Μκ 3 : 29 ὃς δ᾿ ἂν βλασφημήσῃ εἰς τὸ πνεῦμα τὸ ἅγιον
Λκ 12 : 10 τῷ δὲ εἰς τὸ ἅγιον πνεῦμα βλασφημήσαντι

Μκ 9 : 40 ὃς γὰρ οὐκ ἔστιν καθ᾿ ἡμῶν ὑπὲρ ἡμῶν ἐστιν
Λκ 9 : 50 ὃς γὰρ οὐκ ἔστιν καθ᾿ ὑμῶν ὑπὲρ ὑμῶν ἐστιν

Μτ20 : 11 λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου

Μκ11 : 25 ἀφίετε εἴ τι ἔχετε κατά τινος
Μτ 6 : 14 ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα
Λκ (———)

Μτ26 : 59 ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ ᾿Ιησοῦ
Μκ14 : 55 ἐζήτουν κατὰ τοῦ ᾿Ιησοῦ μαρτυρίαν
Λκ (———)

Μκ14 : 56 πολλοὶ γὰρ ἐψευδομαρτύρουν κατ᾿ αὐτοῦ
Μτ 26 : 60 καὶ οὐχ εὗρον πολλῶν προσελθόντων ψευδομαρτύρων
Λκ (———)

Μκ14 : 57 καί τινες ἀναστάντες ἐψευδομαρτύρουν κατ᾿ αὐτοῦ λέγοντες
Μτ 26 : 60 ὕστερον δὲ προσελθόντες δύο εἶπαν
Λκ (———)

Μτ26 : 63 ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος
Μκ (———)
Λκ (———)

Λκ 23 : 5 διδάσκων καθ᾿ ὅλης τῆς ᾿Ιουδαίας καὶ ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας
Μτ (———)
Μκ (———)

Λκ 23 : 14 αἴτιον ὧν κατηγορεῖτε κατ᾿ αὐτοῦ

ΚΑΤΑ [C. ACC.]

Μτ 1 : 20 ἰδοὺ ἄγγελος κυρίου κατ᾿ ὄναρ ἐφάνη αὐτῷ

Μτ 2 : 12 καὶ χρηματισθέντες κατ᾿ ὄναρ μὴ ἀνακάμψαι πρὸς ῾Ηρῴδην

Μτ 2 : 13 ἰδοὺ ἄγγελος κυρίου φαίνεται κατ᾿ ὄναρ τῷ ᾿Ιωσὴφ

Μτ 2 : 16 κατὰ τὸν χρόνον ὃν ἠκρίβωσεν παρὰ τῶν μάγων

Μτ 2 : 19 ἰδοὺ ἄγγελος κυρίου φαίνεται κατ᾿ ὄναρ τῷ ᾿Ιωσὴφ

Μτ 2 : 22 χρηματισθεὶς δὲ κατ᾿ ὄναρ ἀνεχώρησεν

Λκ 1 : 9 κατὰ τὸ ἔθος τῆς ἱερατείας ἔλαχε τοῦ θυμιᾶσαι

Λκ 1 : 18 κατὰ τί γνώσομαι τοῦτο ἐγὼ γάρ εἰμι πρεσβύτης

Λκ 1 : 38 γένοιτό μοι κατὰ τὸ ῥῆμά σου

Λκ 2 : 22 ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωϋσέως

Λκ 2 : 24 καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν τῷ νόμῳ κυρίου

Λκ 2 : 27 τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ

Λκ 2 : 29 νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ

Λκ 2 : 31 ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν

Λκ 2 : 39 καὶ ὡς ἐτέλεσαν πάντα τὰ κατὰ τὸν νόμον κυρίου

Λκ 2 : 41 καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ᾿ ἔτος εἰς ῾Ιερουσαλὴμ

Λκ 2 : 42 ἀναβαινόντων αὐτῶν κατὰ τὸ ἔθος τῆς ἑορτῆς

Λκ 4 : 16 καὶ εἰσῆλθεν κατὰ τὸ εἰωθὸς αὐτῷ
Μτ 13 : 54 καὶ ἐλθὼν εἰς τὴν
Μκ 6 : 1 καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ

Μκ 1 : 27 τί ἐστιν τοῦτο διδαχὴ καινὴ κατ' ἐξουσίαν
Λκ 4 : 36 τίς ὁ λόγος οὗτος ὅτι ἐν ἐξουσίᾳ
Μτ (———)

Μτ 9 : 29 κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν

Λκ 6 : 23 κατὰ τὰ αὐτὰ γὰρ ἐποίουν τοῖς προφήταις
Μτ 5 : 12 οὕτως γὰρἐδίωξαν τοὺς προφήτας

Λκ 6 : 26 κατὰ τὰ αὐτὰ γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις

Λκ 8 : 1 ἐν τῷ καθεξῆς καὶ αὐτὸς διώδευεν κατὰ πόλιν καὶ κώμην κηρύσσων
Μτ 9 : 35 καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας διδάσκων
Μκ 6 : 6 καὶ περιῆγεν τὰς κώμας κύκλῳ διδάσκων

Λκ 8 : 4 ὄχλου πολλοῦ καὶ τῶν κατὰ πόλιν ἐπιπορευομένων πρὸς αὐτὸν
Μτ 13 : 2 πρὸς αὐτὸν ὄχλοι πολλοί ὥστε αὐτὸν εἰς πλοῖον ἐμβάντα
Μκ 4 : 1 πρὸς αὐτὸν ὄχλος πλεῖστος ὥστε αὐτὸν εἰς πλοῖον ἐμβάντα

Μκ 4 : 10 καὶ ὅτε ἐγένετο κατὰ μόνας ἠρώτων αὐτὸν
Μτ 13 : 10 καὶ προσελθόντες οἱ μαθηταὶ εἶπαν αὐτῷ
Λκ 8 : 9 ἐπηρώτων δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ

Μκ 4 : 34 κατ' ἰδίαν δὲ τοῖς ἰδίοις μαθηταῖς ἐπέλυεν πάντα
Μτ (———)

Λκ 8 : 39 καὶ ἀπῆλθεν καθ' ὅλην τὴν πόλιν κηρύσσων
Μκ 5 : 20 καὶ ἀπῆλθεν καὶ ἤρξατο κηρύσσειν
Μτ (———)

Λκ 9 : 6 ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας εὐαγγελιζόμενοι
Μκ 6 : 12 καὶ ἐξελθόντες ἐκήρυξαν ἵνα μετανοῶσιν
Μτ (———)

Μκ 6 : 31 δεῦτε ὑμεῖς αὐτοὶ κατ' ἰδίαν εἰς ἔρημον τόπον
Μτ (———)
Λκ (———)

Μτ14 : 13 ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν
Μκ 6 : 32 καὶ ἀπῆλθον ἐν τῷ πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν
Λκ 9 : 10 καὶ παραλαβὼν αὐτοὺς ὑπεχώρησεν κατ' ἰδίαν εἰς πόλιν

Μκ 6 : 40 κατὰ ἑκατὸν
Μτ (———)
Λκ (———)

Μκ 6 : 40 καὶ κατὰ πεντήκοντα
Μτ (———)
Λκ (———)

Μτ14 : 23 ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν προσεύξασθαι
Μκ 6 : 46 ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι

Μκ 7 : 5 οὐ περιπατοῦσιν οἱ μαθηταί σου κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων
Μτ 15 : 2 διὰ τί οἱ μαθηταί σου παραβαίνουσιν τὴν παράδοσιν τῶν πρεσβυτέρων

Μκ 7 : 33 κατ' ἰδίαν ἔβαλεν τοὺς δακτύλους αὐτοῦ
Μτ 15 : 30 καὶ ἐθεράπευσεν αὐτούς

Λκ 9 : 18 καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον κατὰ μόνας
Μτ 16 : 13 ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου
Μκ 8 : 27 καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας

Λκ 9 : 23 καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καθ' ἡμέραν καὶ ἀκολουθείτω μοι
Μτ 16 : 24 καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι
Μκ 8 : 34 καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι

Μτ16 : 27 καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ
Μκ (———)
Λκ (———)

Μτ17 : 1 ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν
Μκ 9 : 2 ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν μόνους
Λκ 9 : 28 ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι

Μτ17 : 19 τότε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ κατ' ἰδίαν εἶπον
Μκ 9 : 28 καὶ εἰσελθόντος αὐτοῦ εἰς οἶκον οἱ μαθηταὶ αὐτοῦ κατ' ἰδίαν ἐπηρώτων
Λκ (———)

Λκ 10 : 4 καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε
Μτ 10 : 10 μὴ πήραν εἰς ὁδὸν μηδὲ δύο χιτῶνας
Μκ 6 : 8 μηδὲν αἴρωσιν εἰς ὁδὸν

Λκ 10 : 23 καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς κατ' ἰδίαν εἶπεν μακάριοι οἱ ὀφθαλμοὶ
Μτ 13 : 16 ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ

Λκ 10 : 31 κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν

Λκ 10 : 32 ὁμοίως δὲ καὶ Λευίτης κατὰ τὸν τόπον ἐλθὼν

Λκ 10 : 33 Σαμαρίτης δέ τις ὁδεύων ἦλθεν κατ' αὐτὸν καὶ ἰδὼν

Λκ 11 : 3 τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου ἡμῖν τὸ καθ' ἡμέραν
Μτ 6 : 11 τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον

Λκ 13 : 22 καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας
Μτ (———)
Μκ (———)

Λκ 15 : 14 ἐγένετο λιμὸς ἰσχυρὰ κατὰ τὴν χώραν ἐκείνην

Λκ 16 : 19 εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς

Λκ 17 : 30 κατὰ τὰ αὐτὰ ἔσται ᾗ ἡμέρᾳ ὁ υἱὸς τοῦ ἀνθρώπου
Μτ 24 : 39 οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου

Μτ19 : 3 ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν
Μκ 10 : 2 γυναῖκα ἀπολῦσαι πειράζοντες αὐτόν

Μτ20 : 17 παρέλαβεν τοὺς δώδεκα κατ' ἰδίαν καὶ ἐν τῇ ὁδῷ εἶπεν αὐτοῖς
Μκ 10 : 32 καὶ παραλαβὼν πάλιν τοὺς δώδεκα ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα
Λκ 18 : 31 παραλαβὼν δὲ τοὺς δώδεκα εἶπεν πρὸς αὐτούς

Λκ 19 : 47 καὶ ἦν διδάσκων τὸ καθ' ἡμέραν ἐν τῷ ἱερῷ
Μτ 22 : 33 καὶ ἀκούσαντες οἱ ὄχλοι
Μκ 11 : 18 καὶ ἤκουσαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς

Μτ23 : 3 κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε
Μκ (———)
Λκ (———)

Μτ24 : 3 προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ' ἰδίαν λέγοντες εἰπὲ ἡμῖν
Μκ13 : 3 ἐπηρώτα αὐτὸν κατ' ἰδίαν . . . εἰπὸν ἡμῖν
Λκ 21 : 7 ἐπηρώτησαν δὲ αὐτὸν λέγοντες διδάσκαλε

Μτ24 : 7 καὶ ἔσονται λιμοὶ καὶ σεισμοὶ κατὰ τόπους
Μκ13 : 8 ἔσονται σεισμοὶ κατὰ τόπους ἔσονται λιμοί
Λκ 21 : 11 σεισμοί τε μεγάλοι καὶ κατὰ τόπους λοιμοὶ καὶ λιμοὶ ἔσονται

Μτ25 : 15 παρέδωκεν . . . ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν καὶ ἀπεδήμησεν
Μκ 13 : 34 καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν ἑκάστῳ τὸ ἔργον αὐτοῦ
Λκ 19 : 13 ἔδωκεν αὐτοῖς δέκα μνᾶς καὶ εἶπεν πρὸς αὐτοὺς πραγματεύσασθε

Μκ14 : 19 ἤρξαντο λυπεῖσθαι καὶ λέγειν αὐτῷ εἷς κατὰ εἷς μήτι ἐγώ
Μτ 26 : 22 καὶ λυπούμενοι σφόδρα ἤρξαντο λέγειν αὐτῷ εἷς ἕκαστος μήτι ἐγώ
Λκ 22 : 21 πλὴν ἰδοὺ ἡ χεὶρ τοῦ παραδιδόντος

Λκ 22 : 22 ὅτι ὁ υἱὸς μὲν τοῦ ἀνθρώπου κατὰ τὸ ὡρισμένον
Μτ 26 : 24 ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται
Μκ 14 : 21 ὅτι ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται

Λκ 22 : 39 καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν ἐλαιῶν
Μτ 26 : 30 καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν
Μκ 14 : 26 καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν

Μτ26 : 55 καθ' ἡμέραν ἐν τῷ ἱερῷ
Μκ14 : 49 καθ' ἡμέραν ἤμην πρὸς ὑμᾶς ἐν τῷ ἱερῷ
Λκ 22 : 53 καθ' ἡμέραν ὄντος μου μεθ' ὑμῶν ἐν τῷ ἱερῷ

Μτ27 : 15 κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα
Μκ15 : 6 κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον
Λκ (———)

Μτ27 : 19 πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν
Μκ (———)
Λκ (———)

Λκ 23 : 56 καὶ τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν
Μτ (———)
Μκ (———)

ΚΑΤΑΒΑΙΝΩ

Λκ 2 : 51 καὶ κατέβη μετ' αὐτῶν καὶ ἦλθεν εἰς Ναζαρέθ

Μτ 3 : 16 καὶ εἶδεν πνεῦμα θεοῦ καταβαῖνον ὡσεὶ περιστεράν
Μκ 1 : 10 καὶ τὸ πνεῦμα ὡς περιστερὰν καταβαῖνον εἰς αὐτόν
Λκ 3 : 22 καὶ καταβῆναι τὸ πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει ὡς περιστερὰν

Μτ 7 : 25 καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ
Λκ 6 : 48 πλημμύρης δὲ γενομένης προσέρρηξεν ὁ ποταμὸς

Μτ 7 : 27 καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ
Λκ 6 : 49 ᾗ προσέρρηξεν ὁ ποταμός

Μτ 8 : 1 καταβάντος δὲ αὐτοῦ ἀπὸ τοῦ ὄρους
Λκ 5 : 12 καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων
Μκ (———)

Μτ 11 : 23 ἕως οὐρανοῦ ὑψωθήσῃ ἕως ᾅδου καταβήσῃ
Λκ 10 : 15 ἕως οὐρανοῦ ὑψωθήσῃ ἕως τοῦ ᾅδου καταβήσῃ

Λκ 6 : 17 καὶ καταβὰς μετ' αὐτῶν ἔστη ἐπὶ τόπου πεδινοῦ καὶ ὄχλος
Μτ 12 : 15 ὁ δὲ Ἰησοῦς γνοὺς ἀνεχώρησεν ἐκεῖθεν καὶ ἠκολούθησαν
Μκ 3 : 7 καὶ ὁ Ἰησοῦς μετὰ τῶν μαθητῶν αὐτοῦ ἀνεχώρησεν

Μκ 3 : 22 καὶ οἱ γραμματεῖς οἱ ἀπὸ Ἱεροσολύμων καταβάντες ἔλεγον
Μτ 12 : 24 οἱ δὲ Φαρισαῖοι ἀκούσαντες εἶπον
Λκ 11 : 15 τινὲς δὲ ἐξ αὐτῶν εἶπαν

Λκ 8 : 23 καὶ κατέβη λαῖλαψ ἀνέμου εἰς τὴν λίμνην
Μτ 8 : 24 καὶ ἰδοὺ σεισμὸς μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ
Μκ 4 : 37 καὶ γίνεται λαῖλαψ μεγάλη ἀνέμου

Μτ 14 : 29 ὁ δὲ εἶπεν ἐλθέ καὶ καταβὰς ἀπὸ τοῦ πλοίου
Μκ (———)

Μτ 17 : 9 καὶ καταβαινόντων αὐτῶν ἐκ τοῦ ὄρους
Μκ 9 : 9 καὶ καταβαινόντων αὐτῶν ἐκ τοῦ ὄρους

Λκ 9 : 54 κύριε θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ

Λκ 10 : 30 ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἰεριχὼ

Λκ 10 : 31 ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ

Λκ 17 : 31 μὴ καταβάτω ἆραι αὐτά καὶ ὁ ἐν ἀγρῷ ὁμοίως
Μτ (———)

Λκ 18 : 14 κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ

Λκ 19 : 5 Ζακχαῖε σπεύσας κατάβηθι

Λκ 19 : 6 καὶ σπεύσας κατέβη καὶ ὑπεδέξατο

Μτ 24 : 17 ὁ ἐπὶ τοῦ δώματος μὴ καταβάτω ἆραι
Μκ 13 : 15 ὁ ἐπὶ τοῦ δώματος μὴ καταβάτω μηδὲ εἰσελθάτω τι ἆραί
Λκ 21 : 21 καὶ οἱ ἐν μέσῳ αὐτῆς ἐκχωρείτωσαν

Λκ 22 : 44 ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες ἐπὶ τὴν γῆν
Μτ (———)
Μκ (———)

Μτ 27 : 40 καὶ κατάβηθι ἀπὸ τοῦ σταυροῦ
Μκ 15 : 30 καταβὰς ἀπὸ τοῦ σταυροῦ
Λκ (———)

Μτ 27 : 42 βασιλεὺς Ἰσραήλ ἐστιν καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ
Μκ 15 : 32 ὁ χριστὸς ὁ βασιλεὺς Ἰσραὴλ καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ
Λκ 23 : 35 εἰ οὗτός ἐστιν ὁ χριστὸς τοῦ θεοῦ ὁ ἐκλεκτός

Μτ 28 : 2 ἄγγελος γὰρ κυρίου καταβὰς ἐξ οὐρανοῦ καὶ προσελθὼν
Μκ (———)
Λκ (———)

ΚΑΤΑΒΑΡΥΝΩ

Μκ 14 : 40 ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ καταβαρυνόμενοι
Μτ 26 : 43 ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι
Λκ (———)

ΚΑΤΑΒΑΣΙΣ

Λκ 19 : 37 ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ καταβάσει τοῦ ὄρους τῶν ἐλαιῶν
Μτ (———)
Μκ (———)

ΚΑΤΑΒΙΒΑΖΩ

Μτ11 : 23 μὴ ἕως οὐρανοῦ ὑψωθήσῃ ἕως ᾅδου καταβήσῃ
Λκ 10 : 15 μὴ ἕως οὐρανοῦ ὑψωθήσῃ ἕως τοῦ ᾅδου καταβήσῃ

ΚΑΤΑΒΟΛΗ

Μτ13 : 35 ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς
Μκ (———)

Λκ 11 : 50 τὸ αἷμα πάντων τῶν προφητῶν τὸ ἐκκεχυμένον ἀπὸ καταβολῆς κόσμου
Μτ 23 : 35 πᾶν αἷμα δίκαιον ἐκχυννόμενον ἐπὶ τῆς γῆς
Μκ (———)

Μτ25 : 34 ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου

ΚΑΤΑΓΕΛΑΩ

Μτ 9 : 24 καὶ κατεγέλων αὐτοῦ
Μκ 5 : 40 καὶ κατεγέλων αὐτοῦ
Λκ 8 : 53 καὶ κατεγέλων αὐτοῦ εἰδότες ὅτι ἀπέθανεν

ΚΑΤΑΓΝΥΜΙ

Μτ12 : 20 κάλαμον συντετριμμένον οὐ κατεάξει καὶ λίνον
Μκ (———)
Λκ (———)

ΚΑΤΑΓΩ

Λκ 5 : 11 καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν ἀφέντες πάντα
Μτ 4 : 22 οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν
Μκ 1 : 20 καὶ ἀφέντες τὸν πατέρα αὐτῶν Ζεβεδαῖον ἐν τῷ πλοίῳ

ΚΑΤΑΔΕΩ

Λκ 10 : 34 καὶ προσελθὼν κατέδησεν τὰ τραύματα αὐτοῦ

ΚΑΤΑΔΙΚΑΖΩ

Μτ12 : 7 οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους
Μκ (———)
Λκ (———)

Λκ 6 : 37 καὶ μὴ καταδικάζετε
Μτ 7 : 2 ἐν ᾧ γὰρ κρίματι κρίνετε

Λκ 6 : 37 καὶ οὐ μὴ καταδικασθῆτε
Μτ 7 : 2 κριθήσεσθε

Μτ12 : 37 καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ
Μκ (———)
Λκ (———)

ΚΑΤΑΔΙΩΚΩ

Μκ 1 : 36 καὶ κατεδίωξεν αὐτὸν Σίμων καὶ οἱ μετ' αὐτοῦ
Λκ 4 : 42 ὄχλοι ἐπεζήτουν αὐτόν καὶ ἦλθον ἕως αὐτοῦ

ΚΑΤΑΘΕΜΑΤΙΖΩ

Μτ26 : 74 τότε ἤρξατο καταθεματίζειν καὶ ὀμνύειν ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον
Μκ 14 : 71 ὁ δὲ ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύναι ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον
Λκ 22 : 60 εἶπεν δὲ ὁ Πέτρος ἄνθρωπε οὐκ οἶδα ὃ λέγεις

ΚΑΤΑΙΣΧΥΝΩ

Λκ 13 : 17 καὶ ταῦτα λέγοντος αὐτοῦ κατῃσχύνοντο πάντες οἱ ἀντικείμενοι αὐτῷ

ΚΑΤΑΚΑΙΩ

Μτ 3 : 12 τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ
Λκ 3 : 17 τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ
Μκ (———)

Μτ13 : 30 τὰ ζιζάνια καὶ δήσατε αὐτὰ εἰς δέσμας πρὸς τὸ κατακαῦσαι αὐτά

Μτ13 : 40 ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια καὶ πυρὶ κατακαίεται

ΚΑΤΑΚΕΙΜΑΙ

Μκ 1 : 30 ἡ δὲ πενθερὰ Σίμωνος κατέκειτο πυρέσσουσα
Μτ 8 : 14 εἶδεν τὴν πενθερὰν αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν
Λκ 4 : 38 πενθερὰ δὲ τοῦ Σίμωνος ἦν συνεχομένη πυρετῷ μεγάλῳ

Μκ 2 : 4 καὶ ἐξορύξαντες χαλῶσι τὸν κράβατον ὅπου ὁ παραλυτικὸς κατέκειτο
Λκ 5 : 19 καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ
Μτ (———)

Λκ 5 : 25 ἄρας ἐφ' ὃ κατέκειτο ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ δοξάζων τὸν θεόν
Μτ 9 : 7 ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ
Μκ 2 : 12 ἄρας τὸν κράβατον ἐξῆλθεν ἔμπροσθεν πάντων

Μκ 2 : 15 καὶ γίνεται κατακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ
Μτ 9 : 10 καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ
Λκ 5 : 29 καὶ ἐποίησεν δοχὴν μεγάλην Λευὶς αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ

Λκ 5 : 29 καὶ ἦν ὄχλος πολὺς τελωνῶν καὶ ἄλλων οἳ ἦσαν μετ' αὐτῶν κατακείμενοι
Μτ 9 : 10 πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες συνανέκειντο
Μκ 2 : 15 καὶ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ Ἰησοῦ

Μκ 14 : 3 ἐν Βηθανίᾳ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ κατακειμένου αὐτοῦ
Λκ 7 : 37 γυνὴ . . . ἐν τῇ πόλει . . . κατάκειται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου
Μτ 26 : 6 Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ

ΚΑΤΑΚΛΑΩ

Μκ 6 : 41 καὶ κατέκλασεν τοὺς ἄρτους καὶ ἐδίδου τοῖς μαθηταῖς
Λκ 9 : 16 καὶ κατέκλασεν καὶ ἐδίδου τοῖς μαθηταῖς
Μτ 14 : 19 κλάσας ἔδωκεν τοῖς μαθηταῖς τοὺς ἄρτους

ΚΑΤΑΚΛΕΙΩ

Λκ 3 : 20 ὁ Ἡρῴδης . . . κατέκλεισεν τὸν Ἰωάννην ἐν φυλακῇ
Μτ 14 : 3 ὁ γὰρ Ἡρῴδης κρατήσας τὸν Ἰωάννην ἔδησεν καὶ ἐν φυλακῇ
Μκ 6 : 17 αὐτὸς γὰρ ὁ Ἡρῴδης ἀποστείλας ἐκράτησεν τὸν Ἰωάννην

ΚΑΤΑΚΛΙΝΩ

Λκ 7 : 36 καὶ εἰσελθὼν εἰς τὸν οἶκον τοῦ Φαρισαίου κατεκλίθη
Μτ 26 : 6 γενομένου ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ
Μκ 14 : 3 ὄντος αὐτοῦ ἐν Βηθανίᾳ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ κατακειμένου

Λκ 9 : 14 κατακλίνατε αὐτοὺς κλισίας ὡσεὶ ἀνὰ πεντήκοντα
Μτ 14 : 19 καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοῦ χόρτου
Μκ 6 : 39 ἀνακλιθῆναι πάντας συμπόσια συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ

Λκ 9 . 15 καὶ ἐποίησαν οὕτως καὶ κατέκλιναν ἅπαντας
Μκ 6 : 40 καὶ ἀνέπεσαν πρασιαὶ πρασιαὶ κατὰ ἑκατὸν
Μτ (———)

Λκ 14 : 8 μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν

Λκ 24 : 30 καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ' αὐτῶν

ΚΑΤΑΚΛΥΣΜΟΣ

Μτ 24 : 39 καὶ οὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμὸς
Λκ 17 : 27 καὶ ἦλθεν ὁ κατακλυσμὸς

Μτ 24 : 38 ἐν ταῖς ἡμέραις ἐκείναις ταῖς πρὸ τοῦ κατακλυσμοῦ
Λκ 17 : 26 ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ τοῦ ἀνθρώπου

ΚΑΤΑΚΟΛΟΥΘΕΩ

Λκ 23 : 55 κατακολουθήσασαι δὲ αἱ γυναῖκες
Μτ 27 : 61 ἦν δὲ ἐκεῖ Μαριὰμ ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία
Μκ 15 : 47 ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ Ἰωσῆτος

ΚΑΤΑΚΟΠΤΩ

Μκ 5 : 5 κράζων καὶ κατακόπτων ἑαυτὸν λίθοις
Μτ (———)
Λκ (———)

ΚΑΤΑΚΡΗΜΝΙΖΩ

Λκ 4 : 29 ἕως ὀφρύος τοῦ ὄρους . . . ὥστε κατακρημνίσαι αὐτόν
Μτ (———)
Μκ (———)

ΚΑΤΑΚΡΙΝΩ

Μτ12 : 42 μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινεῖ αὐτήν
Λκ 11 : 32 μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινοῦσιν αὐτήν

Μτ12 : 42 μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινεῖ αὐτήν
Λκ 11 : 31 μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης καὶ κατακρινεῖ αὐτούς

Μτ20 : 18 καὶ κατακρινοῦσιν αὐτὸν εἰς θάνατον
Μκ10 : 33 καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ
Λκ 18 : 31 καὶ τελεσθήσεται πάντα τὰ γεγραμμένα

Μκ14 : 64 οἱ δὲ πάντες κατέκριναν αὐτὸν ἔνοχον εἶναι θανάτου
Μτ 26 : 66 οἱ δὲ ἀποκριθέντες εἶπαν ἔνοχος θανάτου ἐστίν
Λκ (———)

Μτ27 : 3 τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτὸν ὅτι κατεκρίθη

Μκ16 : 16 ὁ δὲ ἀπιστήσας κατακριθήσεται

ΚΑΤΑΚΥΡΙΕΥΩ

Μτ20 : 25 οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν
Μκ10 : 42 οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν
Λκ 22 : 25 οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν

ΚΑΤΑΛΑΜΒΑΝΩ

Μκ 9 : 18 καὶ ὅπου ἐὰν αὐτὸν καταλάβῃ ῥήσσει αὐτόν
Μτ 17 : 15 πολλάκις γὰρ πίπτει εἰς τὸ πῦρ καὶ πολλάκις εἰς τὸ ὕδωρ
Λκ 9 : 39 καὶ ἰδοὺ πνεῦμα λαμβάνει αὐτόν καὶ ἐξαίφνης κράζει

ΚΑΤΑΛΕΙΠΩ

Μτ 4 : 13 καὶ καταλιπὼν τὴν Ναζαρὰ ἐλθὼν κατῴκησεν εἰς Καφαρναοὺμ
Μκ (———)
Λκ (———)

Λκ 5 : 28 καὶ καταλιπὼν πάντα ἀναστὰς ἠκολούθει αὐτῷ
Μτ 9 : 9 καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ
Μκ 2 : 14 καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ

Μτ16 : 4 καὶ καταλιπὼν αὐτοὺς ἀπῆλθεν
Μκ 8 : 13 καὶ ἀφεὶς αὐτοὺς πάλιν ἐμβὰς ἀπῆλθεν
Λκ (———)

Λκ 10 : 40 ὅτι ἡ ἀδελφή μου μόνην με κατέλειπεν διακονεῖν

Λκ 15 : 4 οὐ καταλείπει τὰ ἐνενήκοντα ἐννέα ἐν τῇ ἐρήμῳ
Μτ 18 : 12 οὐχὶ ἀφήσει τὰ ἐνενήκοντα ἐννέα ἐπὶ τὰ ὄρη

Μτ19 : 5 καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα
Μκ10 : 7 καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα

Μτ21 : 17 καὶ καταλιπὼν αὐτοὺς ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν
Μκ 11 : 11 ὀψὲ ἤδη οὔσης τῆς ὥρας ἐξῆλθεν εἰς Βηθανίαν
Λκ (———)

Μκ12 : 19 ἀποθάνῃ καὶ καταλίπῃ γυναῖκα καὶ μὴ ἀφῇ τέκνον
Μτ 22 : 24 ἀποθάνῃ μὴ ἔχων τέκνα ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ
Λκ 20 : 28 ἀποθάνῃ ἔχων γυναῖκα καὶ οὗτος ἄτεκνος ᾖ

Μκ12 : 21 καὶ ἀπέθανεν μὴ καταλιπὼν σπέρμα
Μτ (———)
Λκ (———)

Λκ 20 : 31 καὶ οἱ ἑπτὰ οὐ κατέλιπον τέκνα
Μτ 22 : 26 ἕως τῶν ἑπτά
Μκ 12 : 22 καὶ οἱ ἑπτὰ οὐκ ἀφῆκαν σπέρμα

Μκ14 : 52 ὁ δὲ καταλιπὼν τὴν σινδόνα γυμνὸς ἔφυγεν
Μτ (———)
Λκ (———)

ΚΑΤΑΛΙΘΑΖΩ

Λκ 20 : 6 ἐξ ἀνθρώπων ὁ λαὸς ἅπας καταλιθάσει ἡμᾶς
Μτ 21 : 26 ἐξ ἀνθρώπων φοβούμεθα τὸν ὄχλον
Μκ 11 : 32 ἐξ ἀνθρώπων ἐφοβοῦντο τὸν ὄχλον

ΚΑΤΑΛΥΜΑ

Λκ 2 : 7 διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι

Μκ14 : 14 ὅτι ὁ διδάσκαλος λέγει ποῦ ἐστιν τὸ κατάλυμά μου
Λκ 22 : 11 λέγει σοι ὁ διδάσκαλος ποῦ ἐστιν τὸ κατάλυμα
Μτ 26 : 18 ὁ διδάσκαλος λέγει ὁ καιρός μου ἐγγύς ἐστιν

ΚΑΤΑΛΥΩ

Μτ 5 : 17 ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας

Μτ 5 : 17 οὐκ ἦλθον καταλῦσαι ἀλλὰ πληρῶσαι

Λκ 9 : 12 εἰς τὰς κύκλῳ κώμας καὶ ἀγροὺς καταλύσωσιν καὶ εὕρωσιν ἐπισιτισμόν
Μτ 14 : 15 εἰς τὰς κώμας ἀγοράσωσιν ἑαυτοῖς βρώματα
Μκ 6 : 36 εἰς τοὺς κύκλῳ ἀγροὺς καὶ κώμας ἀγοράσωσιν ἑαυτοῖς τί φάγωσιν

Λκ 19 : 7 ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθεν καταλῦσαι

Μτ24 : 2 οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον ὃς οὐ καταλυθήσεται
Μκ13 : 2 οὐ μὴ ἀφεθῇ λίθος ἐπὶ λίθον ὃς οὐ μὴ καταλυθῇ
Λκ 21 : 6 οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθῳ ὃς οὐ καταλυθήσεται

Μτ26 : 61 ἔφη δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ θεοῦ
Μκ14 : 58 λέγοντος ὅτι ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον
Λκ (———)

Μτ27 : 40 καὶ λέγοντες ὁ καταλύων τὸν ναὸν . . . σῶσον σεαυτόν
Μκ15 : 29 καὶ λέγοντες οὐὰ ὁ καταλύων τὸν ναὸν . . . σῶσον σεαυτὸν
Λκ 23 : 37 καὶ λέγοντες εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων σῶσον σεαυτόν

ΚΑΤΑΜΑΝΘΑΝΩ

Μτ 6 : 28 καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ
Λκ 12 : 27 κατανοήσατε τὰ κρίνα

ΚΑΤΑΜΑΡΤΥΡΕΩ

Μτ26 : 62 οὐδὲν ἀποκρίνῃ τί οὗτοί σου καταμαρτυροῦσιν
Μκ14 : 60 οὐκ ἀποκρίνῃ οὐδέν τί οὗτοί σου καταμαρτυροῦσιν
Λκ (———)

Μτ27 : 13 πόσα σου καταμαρτυροῦσιν
Μκ 15 : 4 ἴδε πόσα σου κατηγοροῦσιν
Λκ (———)

ΚΑΤΑΝΕΥΩ

Λκ 5 : 7 καὶ κατένευσαν τοῖς μετόχοις ἐν τῷ ἑτέρῳ πλοίῳ
Μτ (———)
Μκ (———)

ΚΑΤΑΝΟΕΩ

Μτ 7 : 3 τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς
Λκ 6 : 41 τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ κατανοεῖς

Λκ 12 : 24 κατανοήσατε τοὺς κόρακας
Μτ 6 : 26 ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ

Λκ 12 : 27 κατανοήσατε τὰ κρίνα
Μτ 6 : 28 καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ

Λκ 20 : 23 κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν εἶπεν πρὸς αὐτούς
Μτ 22 : 18 γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν εἶπεν
Μκ 12 : 15 ὁ δὲ εἰδὼς αὐτῶν τὴν ὑπόκρισιν εἶπεν αὐτοῖς

ΚΑΤΑΞΙΟΟΜΑΙ

Λκ 20 : 35 οἱ δὲ καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν καὶ τῆς ἀναστάσεως
Μτ 22 : 30 ἐν γὰρ τῇ ἀναστάσει
Μκ 12 : 25 ὅταν γὰρ ἐκ νεκρῶν ἀναστῶσιν

ΚΑΤΑΠΑΤΕΩ

Μτ 5 : 13 εἰς οὐδὲν ἰσχύει ἔτι εἰ μὴ βληθὲν ἔξω καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων
Λκ 14 : 35 οὔτε εἰς γῆν οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν ἔξω βάλλουσιν αὐτό
Μκ (———)

Μτ 7 : 6 μήποτε καταπατήσουσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν

Λκ 8 : 5 καὶ κατεπατήθη καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτό

Μτ 13 : 4 καὶ ἐλθόντα τὰ πετεινὰ κατέφαγεν αὐτά
Μκ 4 : 4 καὶ ἦλθεν τὰ πετεινὰ καὶ κατέφαγεν αὐτό

Λκ 12 : 1 ἐν οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου ὥστε καταπατεῖν ἀλλήλους
Μτ 16 : 5 καὶ ἐλθόντες οἱ μαθηταὶ εἰς τὸ πέραν ἐπελάθοντο ἄρτους λαβεῖν
Μκ 8 : 14 καὶ ἐπελάθοντο λαβεῖν ἄρτους καὶ εἰ μὴ ἕνα ἄρτον

ΚΑΤΑΠΕΤΑΣΜΑ

Μτ27 : 51 καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη ἀπ' ἄνωθεν ἕως κάτω εἰς δύο
Μκ15 : 38 καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπ' ἄνωθεν ἕως κάτω
Λκ 23 : 45 ἐσχίσθη δὲ τὸ καταπέτασμα τοῦ ναοῦ μέσον

ΚΑΤΑΠΙΝΩ

Μτ23 : 24 οἱ διϋλίζοντες τὸν κώνωπα τὴν δὲ κάμηλον καταπίνοντες
Μκ (———)
Λκ (———)

ΚΑΤΑΠΙΠΤΩ

Λκ 8 : 6 καὶ ἕτερον κατέπεσεν ἐπὶ τὴν πέτραν
Μτ 13 : 5 ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη
Μκ 4 : 5 καὶ ἄλλο ἔπεσεν ἐπὶ τὸ πετρῶδες

ΚΑΤΑΠΛΕΩ

Λκ 8 : 26 καὶ κατέπλευσαν εἰς τὴν χώραν τῶν Γερασηνῶν
Μτ 8 : 28 καὶ ἐλθόντος αὐτοῦ εἰς τὸ πέραν εἰς τὴν χώραν τῶν Γαδαρηνῶν
Μκ 5 : 1 καὶ ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης εἰς τὴν χώραν τῶν Γερασηνῶν

ΚΑΤΑΠΟΝΤΙΖΟΜΑΙ

Μτ14 : 30 καὶ ἀρξάμενος καταποντίζεσθαι ἔκραξεν λέγων
Μκ (———)

Μτ18 : 6 περὶ τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης
Μκ 9 : 42 περὶ τὸν τράχηλον αὐτοῦ καὶ βέβληται εἰς τὴν θάλασσαν
Λκ 17 : 2 περίκειται περὶ τὸν τράχηλον αὐτοῦ καὶ ἔρριπται εἰς τὴν θάλασσαν

ΚΑΤΑΡΑΟΜΑΙ

Λκ 6 : 28 εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς
Μτ (———)

Μκ11 : 21 ῥαββί ἴδε ἡ συκῆ ἣν κατηράσω ἐξήρανται
Μτ 21 : 20 πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ

Μτ25 : 41 πορεύεσθε ἀπ' ἐμοῦ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον

ΚΑΤΑΡΓΕΩ

Λκ 13 : 7 ἱνατί καὶ τὴν γῆν καταργεῖ

ΚΑΤΑΡΤΙΖΩ

Μτ 4 : 21 εἶδεν . . . ἐν τῷ πλοίῳ . . . καταρτίζοντας τὰ δίκτυα αὐτῶν
Μκ 1 : 19 εἶδεν . . . ἐν τῷ πλοίῳ καταρτίζοντας ίκτυα
Λκ 5 : 2 εἶδεν δύο πλοιάρια . . . ἔπλυνον τὰ δίκτυα

Λκ 6 : 40 κατηρτισμένος δὲ πᾶς ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ
Μτ 10 : 25 ἀρκετὸν τῷ μαθητῇ ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ

Μτ21 : 16 ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον
Μκ (———)
Λκ (———)

ΚΑΤΑΣΚΕΥΑΖΩ

Λκ 1 : 17 ἑτοιμάσαι κυρίῳ λαὸν κατεσκευασμένον

Μκ 1 : 2 ὃς κατασκευάσει τὴν ὁδόν σου
Μτ (———)
Λκ (———)

Μτ11 : 10 ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου
Λκ 7 : 27 ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου

ΚΑΤΑΣΚΗΝΟΩ

Μτ13 : 32 τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ κατασκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ

Μχ 4 : 32 ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνοῦν
Λχ 13 : 19 τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνωσεν ἐν τοῖς κλάδοις αὐτοῦ

ΚΑΤΑΣΚΗΝΩΣΙΣ

Μτ 8 : 20 καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις
Λχ 9 : 58 καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις

ΚΑΤΑΣΤΡΕΦΩ

Μτ21 : 12 καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψεν
Μχ11 : 15 καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν . . . κατέστρεψεν
Λχ (———)

ΚΑΤΑΣΥΡΩ

Λχ 12 : 58 μήποτε κατασύρῃ σε πρὸς τὸν κριτήν
Μτ 5 : 25 μήποτέ σε παραδῷ ὁ ἀντίδικος

ΚΑΤΑΣΦΑΖΩ

Λχ 19 : 27 καὶ κατασφάξατε αὐτοὺς ἔμπροσθέν μου
Μτ 25 : 30 καὶ ὁ βρυγμὸς τῶν ὀδόντων

ΚΑΤΑΤΙΘΗΜΙ

Μχ15 : 46 καὶ κατέθηκεν αὐτὸν ἐν μνήματι
Μτ 27 : 60 καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ
Λχ 23 : 53 καὶ ἔθηκεν αὐτὸν ἐν μνήματι

ΚΑΤΑΦΙΛΕΩ

Λχ 7 : 38 θριξὶν τῆς κεφαλῆς . . . κατεφίλει τοὺς ποδας . . . ἤλειφεν τῷ μύρῳ
Μτ 26 : 7 ἀλάβαστρον μύρου βαρυτίμου καὶ κατέχεεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ
Μχ 14 : 3 ἀλάβαστρον μύρου . . . κατέχεεν ἀυτοῦς τῆς κεφαλῆς

Λχ 7 : 45 οὐ διέλειπεν καταφιλοῦσά μου τοὺς πόδας
Μτ (———)
Μχ (———)

Λχ 15 : 20 ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ κατεφίλησεν αὐτόν

Μτ26 : 49 καὶ κατεφίλησεν αὐτόν
Μχ14 : 45 καὶ κατεφίλησεν αὐτόν
Λχ 22 : 47 φιλῆσαι αὐτόν

ΚΑΤΑΦΡΟΝΕΩ

Μτ 6 : 24 ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει
Λχ 16 : 13 ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει

Μτ18 : 10 ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων
Λχ (———)

ΚΑΤΑΧΕΩ

Μτ26 : 7 γυνὴ ἔχουσα ἀλάβαστρον μύρου βαρυτίμου καὶ κατέχεεν ἐπὶ τῆς κεφαλῆς
Μχ14 : 3 γυνὴ ἔχουσα ἀλάβαστρον μύρου νάρδου . πολυτελοῦς . . . κατέχεεν αὐτοῦ
Λχ 7 : 37 καὶ ἰδοὺ γυνὴ . . . κομίσασα ἀλάβαστρον μύρου

ΚΑΤΑΨΥΧΩ

Λχ 16 : 24 τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος καὶ καταψύξῃ τὴν γλῶσσάν μου

ΚΑΤΕΝΑΝΤΙ

Μτ21 : 2 πορεύεσθε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν
Μχ11 : 2 ὑπάγετε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν
Λχ 19 : 30 ὑπάγετε εἰς τὴν κατέναντι κώμην

Μχ12 : 41 καὶ καθίσας κατέναντι τοῦ γαζοφυλακείου ἐθεώρει
Λχ 21 : 1 ἀναβλέψας δὲ εἶδεν τοὺς βάλλοντας εἰς τὸ γαζοφυλακεῖον

Μχ13 : 3 καὶ καθημένου αὐτοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν κατέναντι τοῦ ἱεροῦ ἐπηρώτα αὐτὸν
Μτ 24 : 3 καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν προσῆλθον αὐτῷ
Λχ 21 : 7 ἐπηρώτησαν δὲ αὐτὸν

Μτ27 : 24 λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας κατέναντι τοῦ ὄχλου λέγων
Μχ (———)
Λχ (———)

ΚΑΤΕΞΟΥΣΙΑΖΩ

Μτ20 : 25 καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν

Μκ10 : 42 καὶ οἱ μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν
Λκ 22 : 25 καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται

ΚΑΤΕΡΧΟΜΑΙ

Λκ 4 : 31 καὶ κατῆλθεν εἰς Καφαρναοὺμ πόλιν τῆς Γαλιλαίας
Μτ 7 : 28 καὶ ἐγένετο ὅτε ἐτέλεσεν
Μκ 1 : 21 καὶ εἰσπορεύονται εἰς Καφαρναούμ

Λκ 9 : 37 ἐγένετο δὲ τῇ ἑξῆς ἡμέρᾳ κατελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους
Μτ 17 : 9 καὶ καταβαινόντων αὐτῶν ἐκ τοῦ ὄρους
Μκ 9 : 9 καὶ καταβαινόντων αὐτῶν ἐκ τοῦ ὄρους

ΚΑΤΕΣΘΙΩ

Μτ13 : 4 καὶ ἐλθόντα τὰ πετεινὰ κατέφαγεν αὐτά
Μκ 4 : 4 καὶ ἦλθεν τὰ πετεινὰ καὶ κατέφαγεν αὐτό
Λκ 8 : 5 καὶ κατεπατήθη καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτό

Λκ 15 : 30 ὁ υἱός σου οὗτος ὁ καταφαγών σου τὸν βίον

Μκ12 : 40 οἱ κατέσθοντες τὰς οἰκίας τῶν χηρῶν
Λκ 20 : 47 οἳ κατεσθίουσιν τὰς οἰκίας τῶν χηρῶν
Μτ (———)

ΚΑΤΕΥΘΥΝΩ

Λκ 1 : 79 τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης

ΚΑΤΕΥΛΟΓΕΩ

Μκ10 : 16 καὶ ἐναγκαλισάμενος αὐτὰ κατευλόγει τιθεὶς τὰς χεῖρας ἐπ' αὐτά
Μτ 19 : 15 καὶ ἐπιθεὶς τὰς χεῖρας αὐτοῖς ἐπορεύθη ἐκεῖθεν
Λκ (———)

ΚΑΤΕΧΩ

Λκ 4 : 42 καὶ ἦλθον ἕως αὐτοῦ καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐτῶν
Μκ 1 : 37 καὶ κατεδίωξεν αὐτὸν . . . καὶ καὶ λέχουσιν ἀυτῷ ὅτι πάντες ζητοῦσ

Λκ 8 : 15 ἀκούσαντες τὸν λόγον κατέχουσιν καὶ καρποφοροῦσιν
Μτ 13 : 23 ὁ τὸν λόγον ἀκούων καὶ συνιείς ὃς δὴ καρποφορεῖ
Μκ 4 : 20 οἵτινες ἀκούουσιν τὸν λόγον καὶ παραδέχονται καὶ καρποφοροῦσιν

Λκ 14 : 9 καὶ τότε ἄρξῃ μετὰ αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν

ΚΑΤΗΓΟΡΕΩ

Μτ12 : 10 ἵνα κατηγορήσωσιν αὐτοῦ
Μκ 3 : 2 ἵνα κατηγορήσωσιν αὐτοῦ
Λκ 6 : 7 ἵνα εὕρωσιν κατηγορεῖν αὐτοῦ

Λκ 23 : 2 ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ λέγοντες
Μτ (———)
Μκ (———)

Μτ27 : 12 καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων
Μκ15 : 3 καὶ κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά
Λκ (———)

Μκ15 : 4 ἴδε πόσα σου κατηγοροῦσιν
Μτ 27 : 13 πόσα σου καταμαρτυροῦσιν
Λκ (———)

Λκ 23 : 10 οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς εὐτόνως κατηγοροῦντες αὐτοῦ

Λκ 23 : 14 οὐθὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον ὧν κατηγορεῖτε κατ' αὐτοῦ

ΚΑΤΗΧΕΩ

Λκ 1 : 4 ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν

ΚΑΤΙΣΧΥΩ

Μτ16 : 18 καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς
Μκ (———)
Λκ (———)

Λκ 21 : 36 ἵνα κατισχύσητε ἐκφυγεῖν ταῦτα πάντα
Μτ (———)
Μκ (———)

Λκ 23 : 23 καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν
Μτ (———)
Μκ (———)

ΚΑΤΟΙΚΕΩ

Μτ 2 : 23 καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην Ναζαρέτ

Μτ 4 : 13 ἐλθὼν κατῴκησεν εἰς Καφαρναοὺμ
Μκ (———)
Λκ (———)

Μτ12 : 45 καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ
Λκ 11 : 26 καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ

Λκ 13 : 4 παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς κατοικοῦντας Ἱερουσαλήμ

Μτ23 : 21 καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ ὀμνύει ἐν αὐτῷ καὶ ἐν τῷ κατοικοῦντι αὐτόν
Μκ (———)
Λκ (———)

ΚΑΤΟΙΚΗΣΙΣ

Μκ 5 : 2 ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ ὃς τὴν κατοίκησιν εἶχεν ἐν τοῖς μνήμασιν
Μτ 8 : 28 δύο δαιμονιζόμενοι ἐκ τῶν μνημείων
Λκ 8 : 27 ἀνήρ . . . ἔχων δαιμόνια . . . ἔμενεν ἀλλ' ἐν τοῖς μνήμασιν

ΚΑΤΩ

Μτ 2 : 16 καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς καὶ κατωτέρω

Μτ 4 : 6 βάλε σεαυτὸν κάτω
Λκ 4 : 9 βάλε σεαυτὸν ἐντεῦθεν κάτω

Μκ14 : 66 καὶ ὄντος τοῦ Πέτρου κάτω ἐν τῇ αὐλῇ
Μτ 26 : 69 ὁ δὲ Πέτρος ἐκάθητο ἔξω ἐν τῇ αὐλῇ
Λκ 22 : 56 ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς

Μτ27 : 51 τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη ἀπ' ἄνωθεν ἕως κάτω εἰς δύο
Μκ15 : 38 τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπ' ἄνωθεν ἕως κάτω
Λκ 23 : 45 ἐσχίσθη δὲ τὸ καταπέτασμα τοῦ ναοῦ μέσον

ΚΑΥΜΑΤΙΖΩ

Μτ13 : 6 ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη
Μκ 4 : 6 καὶ ὅτε ἀνέτειλεν ὁ ἥλιος ἐκαυματίσθη
Λκ 8 : 6 καὶ φυὲν ἐξηράνθη

ΚΑΥΣΩΝ

Λκ 12 : 55 καὶ ὅταν νότον πνέοντα λέγετε ὅτι καύσων
Μτ 16 : 3 καὶ πρωΐ σήμερον χειμών πυρράζει γὰρ στυγνάζων ὁ οὐρανός

Μτ20 : 12 βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα

ΚΑΦΑΡΝΑΟΥΜ

Μτ 4 : 13 ἐλθὼν κατῴκησεν εἰς Καφαρναοὺμ
Μκ (———)
Λκ (———)

Λκ 4 : 23 ὅσα ἠκούσαμεν γενόμενα εἰς τὴν Καφαρναούμ
Μτ (———)
Μκ (———)

Μκ 1 : 21 καὶ εἰσπορεύονται εἰς Καφαρναοὺμ
Λκ 4 : 31 καὶ κατῆλθεν εἰς Καφαρναοὺμ
Μτ (———)

Μτ 8 : 5 εἰσελθόντος δὲ αὐτοῦ εἰς Καφαρναοὺμ
Λκ 7 : 1 εἰσῆλθεν εἰς Καφαρναοὺμ

Μκ 2 : 1 καὶ εἰσελθὼν πάλιν εἰς Καφαρναοὺμ δι' ἡμερῶν
Μτ 9 : 1 καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν
Λκ 5 : 17 καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν καὶ αὐτὸς ἦν διδάσκων

Μτ11 : 23 καὶ σύ Καφαρναούμ μὴ ἕως οὐρανοῦ
Λκ 10 : 15 καὶ σύ Καφαρναούμ μὴ ἕως οὐρανοῦ

Μτ17 : 24 ἐλθόντων δὲ αὐτῶν εἰς Καφαρναοὺμ

Μκ 9 : 33 καὶ ἦλθον εἰς Καφαρναούμ
Μτ 18 : 1 ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ
Λκ 9 : 46 εἰσῆλθεν δὲ διαλογισμὸς ἐν αὐτοῖς

ΚΕΙΜΑΙ

Λκ 2 : 12 εὑρήσετε βρέφος ἐσπαργανωμένον καὶ κείμενον ἐν φάτνῃ

Λκ 2 : 16 Μαριὰμ καὶ τὸν Ἰωσὴφ καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ

Λκ 2 : 34 ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν

Μτ 3 : 10 ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται
Λκ 3 : 9 ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται

Μτ 5 : 14 οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη
Λκ (———)

Λκ 12 : 19 ψυχή ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά

Λκ 23 : 53 μνήματι λαξευτῷ οὗ οὐκ ἦν οὐδεὶς οὔπω κείμενος
Μτ 27 : 60 μνημείῳ ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ καὶ προσκυλίσας λίθον μέγαν
Μκ 15 : 46 μνήματι ὃ ἦν λελατομημένον ἐκ πέτρας καὶ προσεκύλισεν λίθον

Μτ28 : 6 δεῦτε ἴδετε τὸν τόπον ὅπου ἔκειτο
Μκ 16 : 6 ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν
Λκ (———)

ΚΕΛΕΥΩ

Μτ 8 : 18 ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν
Μκ 4 : 35 καὶ λέγει αὐτοῖς . . . διέλθωμεν εἰς τὸ πὲραν
Λκ 8 : 22 καὶ εἶπεν πρὸς αὐτούς διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης

Μτ14 : 9 ἐκέλευσεν δοθῆναι
Μκ 6 : 26 οὐκ ἠθέλησεν ἀθετῆσαι αὐτήν

Μτ14 : 19 καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι
Μκ 6 : 39 καὶ ἐπέταξεν αὐτοῖς ἀνακλιθῆναι
Λκ 9 : 14 εἶπεν δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ κατακλίνατε

Μτ14 : 28 κέλευσόν με ἐλθεῖν πρός σε ἐπὶ τὰ ὕδατα
Μκ (———)

Μτ18 : 25 ἐκέλευσεν αὐτὸν ὁ κύριος πραθῆναι καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα

Λκ 18 : 40 σταθεὶς δὲ ὁ Ἰησοῦς ἐκέλευσεν αὐτὸν ἀχθῆναι πρὸς αὐτόν
Μτ 20 : 32 καὶ στὰς ὁ Ἰησοῦς ἐφώνησεν αὐτοὺς
Μκ 10 : 49 καὶ στὰς ὁ Ἰησοῦς εἶπεν φωνήσατε αὐτόν

Μτ27 : 58 τότε ὁ Πιλᾶτος ἐκέλευσεν ἀποδοθῆναι
Μκ 15 : 44 ὁ δὲ Πιλᾶτες . . . γνοὺς ἀπὸ τοῦ κεντυρίωνος ἐδωρήσατο τὸ πτῶμα
Λκ (———)

Μτ27 : 64 κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον

ΚΕΝΟΣ

Λκ 1 : 53 καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς

Μκ12 : 3 αὐτὸν ἔδειραν καὶ ἀπέστειλαν κενόν
Λκ 20 : 10 ἐξαπέστειλαν αὐτὸν δείραντες κενόν
Μτ 21 : 35 τοὺς δούλους αὐτοῦ ὃν μὲν ἔδειραν ὃν δὲ ἀπέκτειναν ὃν δὲ

Λκ 20 : 11 οἱ δὲ κἀκεῖνον δείραντες καὶ ἀτιμάσαντες ἐξαπέστειλαν κενόν
Μτ 21 : 36 καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως
Μκ 12 : 4 κἀκεῖνον ἐκεφαλίωσαν καὶ ἠτίμασαν

ΚΕΝΤΥΡΙΩΝ

Μκ15 : 39 ἰδὼν δὲ ὁ κεντυρίων ὁ παρεστηκὼς
Μτ 27 : 54 ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν ἰδόντες
Λκ 23 : 47 ἰδὼν δὲ ὁ ἑκατοντάρχης

Μκ15 : 44 καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα ἐπηρώτησεν αὐτὸν
Μτ (———)
Λκ (———)

Μκ15 : 45 καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος ἐδωρήσατο
Μτ 27 : 58 ἐκέλευσεν ἀποδοθῆναι
Λκ (———)

ΚΕΡΑΙΑ

Μτ 5 : 18 ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου
Λκ 16 : 17 ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν

ΚΕΡΑΜΕΥΣ

Μτ27 : 7 ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως

Μτ27 : 10 καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως

ΚΕΡΑΜΙΟΝ

Μκ14 : 13 εἰς τὴν πόλιν καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων
Λκ 22 : 10 εἰς τὴν πόλιν συναντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων
Μτ 26 : 18 εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα

ΚΕΡΑΜΟΣ

Λκ 5 : 19 ἀναβάντες ἐπὶ τὸ δῶμα διὰ τῶν κεράμων καθῆκαν αὐτὸν
Μκ 2 : 4 ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν καὶ ἐξορύξαντες χαλῶσι
Μτ (———)

ΚΕΡΑΣ

Λκ 1 : 69 καὶ ἤγειρεν κέρας σωτηρίας ἡμῖν

ΚΕΡΑΤΙΟΝ

Λκ 15 : 16 καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἐκ τῶν κερατίων

ΚΕΡΔΑΙΝΩ

Μτ16 : 26 ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ
Μκ 8 : 36 κερδῆσαι τὸν κόσμον ὅλον
Λκ 9 : 25 κερδήσας τὸν κόσμον ὅλον

Μτ18 : 15 ἐκέρδησας τὸν ἀδελφόν σου
Λκ 17 : 3 ἄφες αὐτῷ

Μτ25 : 16 λαβὼν ἠργάσατο ἐν αὐτοῖς καὶ ἐκέρδησεν ἄλλα πέντε
Μκ 13 : 34 ἑκάστῳ τὸ ἔργον αὐτοῦ καὶ τῷ θυρωρῷ
Λκ 19 : 13 πραγματεύσασθε ἐν ᾧ ἔρχομαι

Μτ25 : 17 ὡσαύτως ὁ τὰ δύο ἐκέρδησεν ἄλλα δύο
Λκ (———)

Μτ25 : 20 πέντε τάλαντά μοι παρέδωκας ἴδε ἄλλα πέντε τάλαντα ἐκέρδησα
Λκ 19 : 16 ἡ μνᾶ σου δέκα προσηργάσατο μνᾶς

Μτ25 : 22 ἴδε ἄλλα δύο τάλαντα ἐκέρδησα
Λκ (———)

ΚΕΦΑΛΗ

Μτ 5 : 36 μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς

Μτ 6 : 17 σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν

Μτ 8 : 20 οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ
Λκ 9 : 58 οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ

Μτ10 : 30 αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν
Λκ 12 : 7 αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται

Λκ 7 : 38 καὶ ταῖς θριξὶν τῆς κεφαλῆς αὐτῆς ἐξέμασσεν
Μτ (———)
Μκ (———)

Μτ26 : 7 ἀλάβαστρον μύρου βαρυτίμου καὶ κατέχεεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ
Μκ14 : 3 ἀλάβαστρον μύρου νάρδου πιστικῆς . . . κατέχεεν . . . κεφαλῆς
Λκ 7 : 46 ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας αὕτη δὲ μύρῳ ἤλειψεν τοὺς πόδας μου

Μκ 6 : 24 ἡ δὲ εἶπεν τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτίζοντος
Μτ 14 : 8 ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς

Μτ14 : 8 ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ
Μκ 6 : 25 ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ

Μκ 6 : 27 ἐπέταξεν ἐνέγκαι τὴν κεφαλὴν αὐτοῦ
Μτ (———)

Μτ14 : 11 καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ
Μκ 6 : 28 καὶ ἤνεγκεν τὴν κεφαλὴν αὐτοῦ

Μτ21 : 42 οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας
Μκ12 : 10 οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας
Λκ 20 : 17 οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας

Λκ 21 : 18 καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται
Μτ 24 : 10 καὶ τότε σκανδαλισθήσονται πολλοὶ
Μκ (———)

Λκ 21 : 28 ἀνακύψατε καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν
Μτ (———)
Μκ (———)

Μτ27 : 29 ἐπέθηκαν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ
Μκ (———)

Μτ27 : 30 τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ
Μκ15 : 19 καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ

Μτ27 : 37 καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν
Μκ 15 : 26 καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ
Λκ 23 : 38 ἦν δὲ καὶ ἐπιγραφὴ ἐπ' αὐτῷ

Μτ27 : 39 ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν
Μκ15 : 29 ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν
Λκ (———)

ΚΕΦΑΛΙΟΩ

Μκ12 : 4 ἄλλον δοῦλον κἀκεῖνον ἐκεφαλίωσαν καὶ ἠτίμασαν

Μτ 21 : 36 ἄλλους δούλους πλείονας τῶν πρώτων καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως
Λκ 20 : 11 οἱ δὲ κἀκεῖνον δείραντες καὶ ἀτιμάσαντες ἐξαπέστειλαν κενόν

ΚΗΝΣΟΣ

Μτ17 : 25 ἀπὸ τίνων λαμβάνουσιν τέλη ἢ κῆνσον

Μτ22 : 17 ἔξεστιν δοῦναι κῆνσον Καίσαρι ἢ οὔ
Μκ12 : 14 ἔξεστιν δοῦναι κῆνσον Καίσαρι ἢ οὔ
Λκ 20 : 22 ἔξεστιν ἡμᾶς Καίσαρι φόρον δοῦναι ἢ οὔ

Μτ22 : 19 ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου
Μκ 12 : 15 φέρετέ μοι δηνάριον ἵνα ἴδω
Λκ 20 : 24 δείξατέ μοι δηνάριον

ΚΗΠΟΣ

Λκ 13 : 19 ὃν λαβὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον ἑαυτοῦ
Μτ 13 : 31 ὃν λαβὼν ἄνθρωπος ἔσπειρεν ἐν τῷ ἀγρῷ αὐτοῦ
Μκ 4 : 31 ὃς ὅταν σπαρῇ ἐπὶ τῆς γῆς

ΚΗΡΥΓΜΑ

Μτ12 : 41 ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ
Λκ 11 : 32 ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ

ΚΗΡΥΣΣΩ

Μτ 3 : 1 Ἰωάννης ὁ βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας
Λκ 3 : 3 εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου κηρύσσων βάπτισμα
Μκ (———)

Μκ 1 : 4 Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ καὶ κηρύσσων βάπτισμα μετανοίας
Μτ 3 : 6 καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ποταμῷ
Λκ (———)

Μκ 1 : 7 καὶ ἐκήρυσσεν λέγων ἔρχεται ὁ ἰσχυρότερός μου
Μτ 3 : 11 ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μού
Λκ 3 : 16 λέγων . . . ἔρχεται δὲ ὁ ἰσχυρότερός μου

Μτ 4 : 17 ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν
Μκ 1 : 14 κηρύσσων τὸ εὐαγγέλιον τοῦ θεοῦ
Λκ 4 : 15 καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς

Λκ 4 : 18 ἀπέσταλκέν με κηρύξαι αἰχμαλώτοις
Μτ (———)
Μκ (———)

Λκ 4 : 19 κηρύξαι ἐνιαυτὸν κυρίου δεκτόν
Μτ (———)
Μκ (———)

Μκ 1 : 38 εἰς τὰς ἐχομένας κωμοπόλεις ἵνα καὶ ἐκεῖ κηρύξω
Λκ 4 : 43 ταῖς ἑτέραις πόλεσιν εὐαγγελίσασθαί με δεῖ τὴν βασιλείαν τοῦ θεοῦ

Μτ 4 : 23 ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων
Μκ 1 : 39 κηρύσσων εἰς τὰς συναγωγὰς αὐτῶν
Λκ 4 : 44 κηρύσσων εἰς τὰς συναγωγάς

Μκ 1 : 45 ὁ δὲ ἐξελθὼν ἤρξατο κηρύσσειν πολλὰ
Λκ 5 : 15 διήρχετο δὲ μᾶλλον ὁ λόγος περὶ αὐτοῦ
Μτ (———)

Μτ 9 : 35 καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας
Λκ 8 : 1 κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ θεοῦ
Μκ 6 : 6 καὶ περιῆγεν τὰς κώμας κύκλῳ διδάσκων

Μτ10 : 7 πορευόμενοι δὲ κηρύσσετε λέγοντες ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν
Λκ 9 : 2 καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ θεοῦ
Μκ (———)

Μτ10 : 27 κηρύξατε ἐπὶ τῶν δωμάτων
Λκ 12 : 3 κηρυχθήσεται ἐπὶ τῶν δωμάτων

Μτ11 : 1 διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν

Μκ 3 : 14 καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς κηρύσσειν
Μτ 10 : 1 καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν
Λκ 6 : 13 καὶ ἀποστόλους ὠνόμασεν

Μκ 5 : 20 καὶ ἀπῆλθεν καὶ ἤρξατο κηρύσσειν
Λκ 8 : 39 καὶ ἀπῆλθεν καθ' ὅλην τὴν πόλιν κηρύσσων
Μτ (———)

Μκ 6 : 12 καὶ ἐξελθόντες ἐκήρυξαν ἵνα μετανοῶσιν
Λκ 9 : 6 ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας εὐαγγελιζόμενοι

Μτ (———)

Μκ 7 : 36 αὐτοὶ μᾶλλον περισσότερον ἐκήρυσσον
Μτ (———)

Μκ13 : 10 καὶ εἰς πάντα τὰ ἔθνη πρῶτον δεῖ κηρυχθῆναι τὸ εὐαγγέλιον
Μτ 10 : 18 εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν
Λκ 21 : 13 ἀποβήσεται ὑμῖν εἰς μαρτύριον

Μτ24 : 14 καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας
Μκ (———)
Λκ (———)

Μτ26 : 13 ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο
Μκ14 : 9 ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον
Λκ (———)

Λκ 24 : 47 καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν

Μκ16 : 15 κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει

Μκ16 : 20 ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ

ΚΗΤΟΣ

Μτ12 : 40 ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους
Λκ 11 : 30 καθὼς γὰρ ἐγένετο Ἰωνᾶς τοῖς Νινευΐταις σημεῖον

ΚΙΒΩΤΟΣ

Μτ24 : 38 ἄχρι ἧς ἡμέρας εἰσῆλθεν Νῶε εἰς τὴν κιβωτόν
Λκ 17 : 27 ἄχρι ἧς ἡμέρας εἰσῆλθεν Νῶε εἰς τὴν κιβωτόν

ΚΙΝΔΥΝΕΥΩ

Λκ 8 : 23 καὶ συνεπληροῦντο καὶ ἐκινδύνευον
Μτ 8 : 24 ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων
Μκ 4 : 37 καὶ τὰ κύματα ἐπέβαλλεν εἰς τὸ πλοῖον ὥστε ἤδη γεμίζεσθαι

ΚΙΝΕΩ

Μτ23 : 4 τῷ δακτύλῳ αὐτῶν οὐ θέλουσιν κινῆσαι αὐτά
Λκ 11 : 46 ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε τοῖς φορτίοις

Μκ (———)

Μτ27 : 39 ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν
Μκ15 : 29 ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν
Λκ (———)

ΚΛΑΔΟΣ

Μκ 4 : 32 καὶ ποιεῖ κλάδους μεγάλους ὥστε
Μτ 13 : 32 καὶ γίνεται δένδρον ὥστε
Λκ 13 : 19 καὶ ἐγένετο εἰς δένδρον καὶ

Μτ13 : 32 τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ κατασκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ
Λκ 13 : 19 τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνωσεν ἐν τοῖς κλάδοις αὐτοῦ
Μκ 4 : 32 ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνοῦν

Μτ21 : 8 ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ
Μκ 11 : 8 ἄλλοι δὲ στιβάδας κόψαντες ἐκ τῶν ἀγρῶν
Λκ (———)

Μτ24 : 32 ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλὸς
Μκ13 : 28 ὅταν ἤδη ὁ κλάδος αὐτῆς ἁπαλὸς γένηται
Λκ 21 : 29 τὰ δένδρα ὅταν προβάλωσιν ἤδη

ΚΛΑΙΩ

Μτ 2 : 18 Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς

Λκ 6 : 21 μακάριοι οἱ κλαίοντες νῦν ὅτι γελάσετε
Μτ 5 : 6 μακάριοι . . . διψῶντες τὴν δικαιοσύνην

Λκ 6 : 25 οἱ γελῶντες νῦν ὅτι πενθήσετε καὶ κλαύσετε

Λκ 7 : 13 ἐσπλαγχνίσθη ἐπ' αὐτῇ καὶ εἶπεν αὐτῇ μὴ κλαῖε

Λκ 7 : 32 ἐθρηνήσαμεν καὶ οὐκ ἐκλαύσατε
Μτ 11 : 17 ἐθρηνήσαμεν καὶ οὐκ ἐκόψασθε

Λκ 7 : 38 καὶ στᾶσα ὀπίσω παρὰ τοὺς πόδας αὐτοῦ κλαίουσα
Μτ (———)
Μκ (———)

Μκ 5 : 38 καὶ θεωρεῖ θόρυβον καὶ κλαίοντας καὶ ἀλαλάζοντας πολλά
Λκ 8 : 52 ἔκλαιον δὲ πάντες καὶ ἐκόπτοντο αὐτήν

Μτ 9 : 23 καὶ ἰδὼν τοὺς αὐλητὰς καὶ τὸν ὄχλον θορυβούμενον

Μκ 5 : 39 τί θορυβεῖσθε καὶ κλαίετε τὸ παιδίον οὐκ ἀπέθανεν
Λκ 8 : 52 μὴ κλαίετε οὐκ ἀπέθανεν
Μτ 9 : 24 ἀναχωρεῖτε οὐ γὰρ ἀπέθανεν τὸ κοράσιον

Λκ 19 : 41 ἰδὼν τὴν πόλιν ἔκλαυσεν ἐπ' αὐτὴν

Μτ26 : 75 καὶ ἐξελθὼν ἔξω ἔκλαυσεν πικρῶς
Μκ14 : 72 καὶ ἐπιβαλὼν ἔκλαιεν
Λκ 22 : 62 καὶ ἐξελθὼν ἔξω ἔκλαυσεν πικρῶς

Λκ 23 : 28 θυγατέρες Ἰερουσαλὴμ μὴ κλαίετε ἐπ' ἐμέ
Μτ (———)
Μκ (———)

Λκ 23 : 28 πλὴν ἐφ' ἑαυτὰς κλαίετε καὶ ἐπὶ τὰ τέκνα ὑμῶν
Μτ (———)
Μκ (———)

Μκ16 : 10 ἀπήγγειλεν τοῖς μετ' αὐτοῦ γενομένοις πενθοῦσι καὶ κλαίουσιν

ΚΛΑΣΙΣ

Λκ 24 : 35 καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου

ΚΛΑΣΜΑ

Μτ14 : 20 καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων
Μκ 6 : 43 καὶ ἦραν κλάσματα
Λκ 9 : 17 καὶ ἤρθη τὸ περισσεῦσαν αὐτοῖς κλασμάτων

Μτ15 : 37 καὶ τὸ περισσεῦον τῶν κλασμάτων ἦραν
Μκ 8 : 8 καὶ ἦραν περισσεύματα κλασμάτων

Μκ 8 : 19 πόσους κοφίνους κλασμάτων πλήρεις ἤρατε
Μτ 16 : 9 πόσους κοφίνους ἐλάβετε
Λκ (———)

Μκ 8 : 20 πόσων σπυρίδων πληρώματα κλασμάτων ἤρατε
Μτ 16 : 10 καὶ πόσας σφυρίδας ἐλάβετε
Λκ (———)

ΚΛΑΥΘΜΟΣ

Μτ 2 : 18 φωνὴ ἐν Ῥαμὰ ἠκούσθη κλαυθμὸς καὶ ὀδυρμὸς πολύς

Μτ 8 : 12 ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων
Λκ 13 : 28 ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων
Μκ (———)

Μτ13 : 42 ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων

Μτ13 : 50 ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων

Μτ22 : 13 ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων
Λκ (———)

Μτ24 : 51 ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων
Λκ (———)

Μτ25 : 30 ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων
Λκ 19 : 27 ἀγάγετε ὧδε καὶ κατασφάξατε αὐτοὺς ἔμπροσθέν μου

ΚΛΑΩ

Μτ14 : 19 εὐλόγησεν καὶ κλάσας ἔδωκεν τοῖς μαθηταῖς
Μκ 6 : 41 εὐλόγησεν καὶ κατέκλασεν τοὺς ἄρτους καὶ ἐδίδου τοῖς μαθηταῖς
Λκ 9 : 16 εὐλόγησεν αὐτοὺς καὶ κατέκλασεν καὶ ἐδίδου τοῖς μαθηταῖς

Μτ15 : 36 εὐχαριστήσας ἔκλασεν καὶ ἐδίδου τοῖς μαθηταῖς
Μκ 8 : 6 εὐχαριστήσας ἔκλασεν καὶ ἐδίδου τοῖς μαθηταῖς

Μκ 8 : 19 ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεντακισχιλίους
Μτ 16 : 9 τοὺς πέντε ἄρτους τῶν πεντακισχιλίων
Λκ (———)

Μτ26 : 26 εὐλογήσας ἔκλασεν καὶ δοὺς τοῖς μαθηταῖς
Μκ14 : 22 εὐλογήσας ἔκλασεν καὶ ἔδωκεν αὐτοῖς
Λκ 22 : 19 εὐχαριστήσας ἔκλασεν καὶ ἔδωκεν αὐτοῖς

Λκ 24 : 30 εὐλόγησεν καὶ κλάσας ἐπεδίδου αὐτοῖς

ΚΛΕΙΣ

Μτ16 : 19 δώσω σοι τὰς κλεῖδας τῆς βασιλείας τῶν οὐρανῶν

Μκ (———)
Λκ (———)

Λκ 11 : 52 ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως
Μτ 23 : 13 ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν
Μκ (———)

ΚΛΕΙΩ

Λκ 4 : 25 ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ
Μτ (———)
Μκ (———)

Μτ 6 : 6 εἴσελθε εἰς τὸ ταμεῖόν σου καὶ κλείσας τὴν θύραν

Λκ 11 : 7 ἤδη ἡ θύρα κέκλεισται καὶ τὰ παιδία μου μετ' ἐμοῦ

Μτ23 : 13 ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν
Λκ 11 : 52 ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως
Μκ (———)

Μτ25 : 10 καὶ ἐκλείσθη ἡ θύρα ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ
Λκ 13 : 25 καὶ ἀποκλείσῃ τὴν θύραν καὶ ἄρξησθε ἔξω
Μκ (———)

ΚΛΕΟΠΑΣ

Λκ 24 : 18 ἀποκριθεὶς δὲ εἷς ὀνόματι Κλεοπᾶς εἶπεν

ΚΛΕΠΤΗΣ

Μτ 6 : 19 καὶ ὅπου κλέπται διορύσσουσιν καὶ κλέπτουσιν
Λκ 12 : 33 καὶ δότε ἐλεημοσύνην

Μτ 6 : 20 καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσιν
Λκ 12 : 33 ὅπου κλέπτης οὐκ ἐγγίζει οὐδὲ σὴς διαφθείρει

Μτ24 : 43 ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται
Λκ 12 : 39 ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται

ΚΛΕΠΤΩ

Μτ 6 : 19 καὶ ὅπου κλέπται διορύσσουσιν καὶ κλέπτουσιν
Λκ 12 : 33 καὶ δότε ἐλεημοσύνην

Μτ 6 : 20 οὐ διορύσσουσιν οὐδὲ κλέπτουσιν
Λκ 12 : 33 οὐκ ἐγγίζει οὐδὲ σὴς διαφθείρει

Μτ19 : 18 οὐ φονεύσεις οὐ μοιχεύσεις οὐ κλέψεις
Μκ10 : 19 μὴ φονεύσῃς μὴ μοιχεύσῃς μὴ κλέψῃς
Λκ 18 : 20 μὴ μοιχεύσῃς μὴ φονεύσῃς μὴ κλέψῃς

Μτ27 : 64 μήποτε ἐλθόντες οἱ μαθηταὶ κλέψωσιν αὐτὸν

Μτ28 : 13 ἐλθόντες ἔκλεψαν αὐτόν

ΚΛΗΡΟΝΟΜΕΩ

Μτ 5 : 5 ὅτι αὐτοὶ κληρονομήσουσιν τὴν γῆν
Λκ (———)

Λκ 10 : 25 διδάσκαλε τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω
Μτ 22 : 36 διδάσκαλε ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ
Μκ 12 : 28 ποία ἐστὶν ἐντολὴ πρώτη πάντων

Μκ10 : 17 τί ποιήσω ἵνα ζωὴν αἰώνιον κληρονομήσω
Λκ 18 : 18 τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω
Μτ 19 : 16 τί ἀγαθὸν ποιήσω ἵνα σχῶ ζωὴν αἰώνιον

Μτ19 : 29 καὶ ζωὴν αἰώνιον κληρονομήσει
Μκ 10 : 30 καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον
Λκ 18 : 30 καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον

Μτ25 : 34 κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν

ΚΛΗΡΟΝΟΜΙΑ

Λκ 12 : 13 εἰπὲ τῷ ἀδελφῷ μου μερίσασθαι μετ' ἐμοῦ τὴν κληρονομίαν

Μτ21 : 38 καὶ σχῶμεν τὴν κληρονομίαν αὐτοῦ
Μκ12 : 7 καὶ ἡμῶν ἔσται ἡ κληρονομία
Λκ 20 : 14 ἵνα ἡμῶν γένηται ἡ κληρονομία

ΚΛΗΡΟΝΟΜΟΣ

Μτ21 : 38 οὗτός ἐστιν ὁ κληρονόμος
Μκ12 : 7 οὗτός ἐστιν ὁ κληρονόμος
Λκ 20 : 14 οὗτός ἐστιν ὁ κληρονόμος

ΚΛΗΡΟΣ

Μτ27 : 35 διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ βάλλοντες κλῆρον

Μκ15 : 24 διαμερίζονται τὰ ἱμάτια αὐτοῦ βάλλοντες κλῆρον
Λκ 23 : 34 διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ ἔβαλον κλήρους

ΚΛΗΤΟΣ

Μτ22 : 14 πολλοὶ γάρ εἰσιν κλητοί ὀλίγοι δὲ ἐκλεκτοί
Λκ (———)

ΚΛΙΒΑΝΟΣ

Μτ 6 : 30 σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον
Λκ 12 : 28 ὄντα σήμερον καὶ αὔριον εἰς κλίβανον βαλλόμενον

ΚΛΙΝΗ

Μτ 9 : 2 προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης
Λκ 5 : 18 φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος
Μκ 2 : 3 φέροντες πρὸς αὐτὸν παραλυτικὸν αἰρόμενον

Μτ 9 : 6 ἔγειρε ἆρόν σου τὴν κλίνην καὶ ὕπαγε
Μκ 2 : 11 ἔγειρε ἆρον τὸν κράβατόν σου καὶ ὕπαγε
Λκ 5 : 24 ἔγειρε καὶ ἄρας τὸ κλινίδιόν σου πορεύου

Μκ 4 : 21 ἵνα ὑπὸ τὸν μόδιον τεθῇ ἢ ὑπὸ τὴν κλίνην
Λκ 8 : 16 αὐτὸν σκεύει ἢ ὑποκάτω κλίνης τίθησιν
Μτ (———)

Μκ 7 : 30 εὗρεν τὸ παιδίον βεβλημένον ἐπὶ τὴν κλίνην
Μτ (———)

Λκ 17 : 34 ταύτῃ τῇ νυκτὶ ἔσονται δύο ἐπὶ κλίνης μιᾶς
Μτ 24 : 40 τότε ἔσονται δύο ἐν τῷ ἀγρῷ

ΚΛΙΝΙΔΙΟΝ

Λκ 5 : 19 καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον
Μκ 2 : 4 χαλῶσι τὸν κράβατον ὅπου
Μτ (———)

Λκ 5 : 24 ἔγειρε καὶ ἄρας τὸ κλινίδιόν σου
Μτ 9 : 6 ἔγειρε ἆρόν σου τὴν κλίνην
Μκ 2 : 11 ἔγειρε ἆρον τὸν κράβατόν σου

ΚΛΙΝΩ

Μτ 8 : 20 οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ
Λκ 9 : 58 οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ

Λκ 9 : 12 ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν
Μτ 14 : 15 ὀψίας δὲ γενομένης
Μκ 6 : 35 καὶ ἤδη ὥρας πολλῆς γενομένης

Λκ 24 : 5 ἐμφόβων δὲ γενομένων αὐτῶν καὶ κλινουσῶν τὰ πρόσωπα εἰς τὴν γῆν
Μτ 28 : 5 εἶπεν ταῖς γυναιξίν μὴ φοβεῖσθε ὑμεῖς οἶδα γὰρ ὅτι Ἰησοῦν
Μκ 16 : 6 ὁ δὲ λέγει αὐταῖς μὴ ἐκθαμβεῖσθε Ἰησοῦν ζητεῖτε

Λκ 24 : 29 πρὸς ἑσπέραν ἐστὶν καὶ κέκλικεν ἤδη ἡ ἡμέρα

ΚΛΙΣΙΑ

Λκ 9 : 14 κατακλίνατε αὐτοὺς κλισίας ὡσεὶ ἀνὰ πεντήκοντα
Μτ 14 : 19 ἀνακλιθῆναι ἐπὶ τοῦ χόρτου
Μκ 6 : 39 ἀνακλιθῆναι πάντας συμπόσια συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ

ΚΛΟΠΗ

Μτ15 : 19 πορνεῖαι κλοπαί ψευδομαρτυρίαι
Μκ 7 : 21 πορνεῖαι κλοπαί φόνοι

ΚΛΥΔΩΝ

Λκ 8 : 24 ὁ δὲ διεγερθεὶς ἐπετίμησεν τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ ὕδατος
Μτ 8 : 26 τότε ἐγερθεὶς ἐπετίμησεν τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ
Μκ 4 : 39 καὶ διεγερθεὶς ἐπετίμησεν τῷ ἀνέμῳ καὶ εἶπεν τῇ θαλάσσῃ σιώπα

ΚΟΔΡΑΝΤΗΣ

Μτ 5 : 26 ἕως ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην
Λκ 12 : 59 ἕως καὶ τὸ ἔσχατον λεπτὸν ἀποδῷς

Μκ12 : 42 ἔβαλεν λεπτὰ δύο ὅ ἐστιν κοδράντης
Λκ 21 : 2 βάλλουσαν ἐκεῖ λεπτὰ δύο

ΚΟΙΛΙΑ

Λκ 1 : 15 πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ

Λκ 1 : 41 ἐσκίρτησεν τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς

Λκ 1 : 42 καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου

Λκ 1 : 44 ἐσκίρτησεν ἐν ἀγαλλιάσει τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου

Λκ 2 : 21 πρὸ τοῦ συλλημφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ

Μτ12 : 40 ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους
Λκ 11 : 30 καθὼς γὰρ ἐγένετο Ἰωνᾶς τοῖς Νινευΐταις σημεῖον

Μτ15 : 17 εἰς τὴν κοιλίαν χωρεῖ καὶ εἰς ἀφεδρῶνα
Μκ 7 : 19 εἰς τὴν κοιλίαν καὶ εἰς τὸν ἀφεδρῶνα

Λκ 11 : 27 μακαρία ἡ κοιλία ἡ βαστάσασά σε

Λκ 15 : 16 καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ

Μτ19 : 12 εὐνοῦχοι οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν
Μκ (———)

Λκ 23 : 29 μακάριαι αἱ στεῖραι καὶ αἱ κοιλίαι αἳ οὐκ ἐγέννησαν
Μτ (———)
Μκ (———)

ΚΟΙΜΑΟΜΑΙ

Λκ 22 : 45 εὗρεν κοιμωμένους αὐτοὺς
Μτ 26 : 40 καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας
Μκ 14 : 37 καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας

Μτ27 : 52 καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθησαν
Μκ (———)
Λκ (———)

Μτ28 : 13 ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων

ΚΟΙΝΟΣ

Μκ 7 : 2 ὅτι κοιναῖς χερσίν τοῦτ᾽ ἔστιν ἀνίπτοις
Μτ (———)

Μκ 7 : 5 ἀλλὰ κοιναῖς χερσὶν ἐσθίουσιν τὸν ἄρτον
Μτ 15 : 2 οὐ γὰρ νίπτονται τὰς χεῖρας ὅταν ἄρτον ἐσθίωσιν

ΚΟΙΝΟΩ

Μτ15 : 11 εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον
Μκ 7 : 15 εἰς αὐτὸν ὃ δύναται κοινῶσαι αὐτόν

Μτ15 : 11 τοῦτο κοινοῖ τὸν ἄνθρωπον
Μκ 7 : 15 τὰ κοινοῦντα τὸν ἄνθρωπον

Μκ 7 : 18 οὐ δύναται αὐτὸν κοινῶσαι
Μτ (———)

Μτ15 : 18 κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον
Μκ 7 : 20 ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον

Μτ15 : 20 ταῦτά ἐστιν τὰ κοινοῦντα τὸν ἄνθρωπον
Μκ 7 : 23 καὶ κοινοῖ τὸν ἄνθρωπον

Μτ15 : 20 ἀνίπτοις χερσὶν φαγεῖν οὐ κοινοῖ τὸν ἄνθρωπον
Μκ 7 : 23 πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται

ΚΟΙΝΩΝΟΣ

Λκ 5 : 10 Ἰάκωβον καὶ Ἰωάννην υἱοὺς Ζεβεδαίου οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι
Μτ 4 : 21 Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ
Μκ 1 : 19 Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ

Μτ23 : 30 πατέρων ἡμῶν οὐκ ἂν ἤμεθα αὐτῶν κοινωνοὶ ἐν τῷ αἵματι τῶν προφητῶν
Λκ 11 : 48 ἄρα μάρτυρές ἐστε καὶ συνευδοκεῖτε τοῖς ἔργοις τῶν πατέρων ὑμῶν
Μκ (———)

ΚΟΙΤΗ

Λκ 11 : 7 τὰ παιδία μου μετ᾽ ἐμοῦ εἰς τὴν κοίτην εἰσίν

ΚΟΚΚΙΝΟΣ

Μτ27 : 28 ἐκδύσαντες αὐτὸν χλαμύδα κοκκίνην περιέθηκαν
Μκ 15 : 17 ἐνδιδύσκουσιν αὐτὸν πορφύραν καὶ περιτιθέασιν

ΚΟΚΚΟΣ

Μτ13 : 31 κόκκῳ σινάπεως ὃν λαβὼν ἄνθρωπος ἔσπειρεν
Μκ 4 : 31 ὡς κόκκῳ σινάπεως ὃς ὅταν σπαρῇ
Λκ 13 : 19 κόκκῳ σινάπεως ὃν λαβὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον

Μτ17 : 20 ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως
Λκ 17 : 6 εἰ ἔχετε πίστιν ὡς κόκκον σινάπεως
Μκ (———)

ΚΟΛΑΣΙΣ

Μτ25 : 46 καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον

ΚΟΛΑΦΙΖΩ

Μτ26 : 67 καὶ ἐκολάφισαν αὐτόν οἱ δὲ ἐράπισαν ντες
Μκ14 : 65 καὶ κολαφίζειν αὐτὸν καὶ λέγειν αὐτῷ
Λκ 22 : 64 καὶ περικαλύψαντες αὐτὸν ἐπηρώτων λέγοντες

ΚΟΛΛΑΟΜΑΙ

Λκ 10 : 11 καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἐκ τῆς πόλεως ὑμῶν
Μτ 10 : 14 τῆς πόλεως ἐκείνης ἐκτινάξατε τὸν κονιορτὸν
Μκ 6 : 11 ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν

Λκ 15 : 15 ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης

Μτ19 : 5 καὶ κολληθήσεται τῇ γυναικὶ αὐτοῦ
Μκ (———)

ΚΟΛΛΥΒΙΣΤΗΣ

Μτ21 : 12 καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψεν
Μκ11 : 15 καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν . . . κατέστρεψεν
Λκ (———)

ΚΟΛΟΒΟΩ

